καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν. καὶ ἐὰν ἀσπάσησθε τοὺς 47
φίλους ὑμῶν μόνον τί περισσὸν ποιεῖτε οὐχὶ καὶ οἱ τελῶναι
οὕτως ποιοῦσιν. Ἔσεσθε οὖν ὑμεῖς τέλειοι ὡσπερ ὁ πατὴρ 48
ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν.

Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν **6**
τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς, εἰ δὲ μήγε, μισθὸν
οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν 2
οὖν ποιῇς ἐλεημοσύνην μὴ σαλπίσῃς ἔμπροσθέν σου ὥσ-
περ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς
ῥύμαις ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων, ἀμὴν λέγω
ὑμῖν ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλε- 3
ημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου.
ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου 4
ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς, ἀποδώσει σοι ἐν τῷ φανε-
ρῷ. Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί ὅτι 5
φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατει-
ῶν ἑστῶτες προσεύχεσθαι ὅπως ἂν φανῶσιν τοῖς ἀνθρώποις,
ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. σὺ δὲ 6
ὅταν προσεύχῃ εἴσελθε εἰς τὸ ταμιεῖόν σου καὶ κλείσας τὴν
θύραν σου πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ
ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ

---

v.46 ἐάν^{qo} γάρ^{c} ἀγαπάω^{vsaa2p} ὁ^{damp} ἀγαπάω^{vppaamp} σύ$^{rpa\text{-}p}$ τίς^{rqams} μισθός^{nams} ἔχω^{vipa2p} οὐχί^{xo} καί^{c} ὁ^{dnmp} τελώνης^{nnmp} ὁ^{dans} αὐτός^{rpans} ποιέω^{vipa3p}. **v.47** καί^{c} ἐάν^{qo} ἀσπάζομαι^{vsad2p} ὁ^{damp} φίλος^{aampn} σύ$^{rpg\text{-}p}$ μόνος^{bo} τίς^{rqans} περισσός^{aansn} ποιέω^{vipa2p} οὐχί^{xo} καί^{c} ὁ^{dnmp} τελώνης^{nnmp} οὕτω^{bo} ποιέω^{vipa3p}. **v.48** εἰμί^{vifx2p} οὖν^{c} σύ$^{rpn\text{-}p}$ τέλειος^{anmpn} ὥσπερ^{bo} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg\text{-}p}$ ὁ^{dnms} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp} τέλειος^{anmsn} εἰμί^{vipx3s}.
6. v.1 προσέχω^{vdpa2p} ὁ^{dafs} ἐλεημοσύνη^{nafs} σύ$^{rpg\text{-}p}$ μή^{xo} ποιέω^{vnpa} ἔμπροσθεν^{p} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} πρός^{p} ὁ^{dans} θεάομαι^{vnap} αὐτός^{rpdmp} εἰ^{qo} δέ^{c} μή^{xo} μισθός^{nams} οὐ^{xo} ἔχω^{vipa2p} παρά^{p} ὁ^{ddms} πατήρ^{ndms} σύ$^{rpg\text{-}p}$ ὁ^{ddms} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp}. **v.2** ὅταν^{c} οὖν^{c} ποιέω^{vspa2s} ἐλεημοσύνη^{nafs} μή^{xo} σαλπίζω^{vsaa2s} ἔμπροσθεν^{p} σύ$^{rpg\text{-}s}$ ὥσπερ^{bo} ὁ^{dnmp} ὑποκριτής^{nnmp} ποιέω^{vipa3p} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} καί^{c} ἐν^{p} ὁ^{ddfp} ῥύμη^{ndfp} ὅπως^{bo} δοξάζω^{vsap3p} ὑπό^{p} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd\text{-}p}$ ἀπέχω^{vipa3p} ὁ^{dams} μισθός^{nams} αὐτός^{rpgmp}.
v.3 σύ$^{rpg\text{-}s}$ δέ^{c} ποιέω^{vppagms} ἐλεημοσύνη^{nafs} μή^{xo} γινώσκω^{vdaa3s} ὁ^{dnfs} ἀριστερός^{anfsn} σύ$^{rpg\text{-}s}$ τίς^{rqans} ποιέω^{vipa3s} ὁ^{dnfs} δεξιός^{anfsn} σύ$^{rpg\text{-}s}$. **v.4** ὅπως^{bo} εἰμί^{vspx3s} σύ$^{rpg\text{-}s}$ ὁ^{dnfs} ἐλεημοσύνη^{nnfs} ἐν^{p} ὁ^{ddns} κρυπτός^{adnsn} καί^{c} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg\text{-}s}$ ὁ^{dnms} βλέπω^{vppanms} ἐν^{p} ὁ^{ddns} κρυπτός^{adnsn} αὐτός^{rpnms} ἀποδίδωμι^{vifa3s} σύ$^{rpd\text{-}s}$ ἐν^{p} ὁ^{ddns} φανερός^{adnsn}. **v.5** καί^{c} ὅταν^{c} προσεύχομαι^{vspn2s} οὐ^{xo} εἰμί^{vifx2s} ὥσπερ^{bo} ὁ^{dnmp} ὑποκριτής^{nnmp} ὅτι^{c} φιλέω^{vipa3p} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} καί^{c} ἐν^{p} ὁ^{ddfp} γωνία^{ndfp} ὁ^{dgfp} πλατύς^{ngfp} ἵστημι^{vpxanmp} προσεύχομαι^{vnpn} ὅπως^{bo} ἄν^{xo} φαίνω^{vsap3p} ὁ^{ddmp} ἄνθρωπος^{ndmp} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd\text{-}p}$ ὅτι^{c} ἀπέχω^{vipa3p} ὁ^{dams} μισθός^{nams} αὐτός^{rpgmp}.

7 φανερῷ. Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ οἱ
ἐθνικοί δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακου-
8 σθήσονται. μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, οἶδεν γὰρ ὁ πατὴρ
9 ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Οὕτως
οὖν προσεύχεσθε ὑμεῖς, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἁ-
10 γιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω
11 τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, Τὸν ἄρτον
12 ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ
ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡ-
13 μῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν ἀλλὰ ῥῦσαι
ἡμᾶς ἀπὸ τοῦ πονηροῦ ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύνα-
14 μις καὶ ἡ δόξα εἰς τοῦς αἰῶνας. ἀμήν. Ἐὰν γὰρ ἀφῆτε τοῖς
ἀνθρώποις τὰ παραπτώματα αὐτῶν ἀφήσει καὶ ὑμῖν ὁ πα-
15 τὴρ ὑμῶν ὁ οὐράνιος, ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ
παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παρα-
16 πτώματα ὑμῶν. Ὅταν δὲ νηστεύητε μὴ γίνεσθε ὡσπερ οἱ
ὑποκριταὶ σκυθρωποί ἀφανίζουσιν γὰρ τὰ πρόσωπα αὐτῶν
ὅπως φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες, ἀμὴν λέγω ὑμῖν
17 ὅτι ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. σὺ δὲ νηστεύων ἄλειψαί

---

v.6 σύ[rpn-s] δέ[c] ὅταν[c] προσεύχομαι[vspn2s] εἰσέρχομαι[vdaa2s] εἰς[p] ὁ[dans] ταμεῖον[nnns] σύ[rpg-s] καί[c] κλείω[vpaanms] ὁ[dafs] θύρα[nafs] σύ[rpg-s] προσεύχομαι[vdad2s] ὁ[ddms] πατήρ[ndms] σύ[rpg-s] ὁ[ddms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] καί[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] ὁ[dnms] βλέπω[vppanms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] ἀποδίδωμι[vifa3s] σύ[rpd-s] ἐν[p] ὁ[ddns] φανερός[adnsn]. **v.7** προσεύχομαι[vppnnmp] δέ[c] μή[xo] βατταλογέω[vsaa2p] ὥσπερ[bo] ὁ[dnmp] ἐθνικός[anmpn] δοκέω[vipa3p] γάρ[c] ὅτι[c] ἐν[p] ὁ[ddfs] πολυλογία[ndfs] αὐτός[rpgmp] εἰσακούω[vifp3p]. **v.8** μή[xo] οὖν[c] ὁμοιόω[vsap2p] αὐτός[rpdmp] οἶδα[vixa3s] γάρ[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὅς[rrgnp] χρεία[nafs] ἔχω[vipa2p] πρό[p] ὁ[dgms] σύ[rpa-p] αἰτέω[vnaa] αὐτός[rpams]. **v.9** οὕτω[bo] οὖν[c] προσεύχομαι[vdpn2p] σύ[rpn-p] πατήρ[nvms] ἐγώ[rpg-p] ὁ[dnms] ἐν[p] ὁ[ddmp] οὐρανός[ndmp] ἁγιάζω[vdap3s] ὁ[dnns] ὄνομα[nnns] σύ[rpg-s]. **v.10** ἔρχομαι[vdaa3s] ὁ[dnfs] βασιλεία[nnfs] σύ[rpg-s] γίνομαι[vdao3s] ὁ[dnns] θέλημα[nnns] σύ[rpg-s] ὡς[bo] ἐν[p] οὐρανός[ndms] καί[c] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs]. **v.11** ὁ[dams] ἄρτος[nams] ἐγώ[rpg-p] ὁ[dams] ἐπιούσιος[aamsn] δίδωμι[vdaa2s] ἐγώ[rpd-p] σήμερον[bo]. **v.12** καί[c] ἀφίημι[vdaa2s] ἐγώ[rpd-p] ὁ[danp] ὀφείλημα[nanp] ἐγώ[rpg-p] ὡς[bo] καί[c] ἐγώ[rpn-p] ἀφίημι[vipa1p] ὁ[ddmp] ὀφειλέτης[ndmp] ἐγώ[rpg-p]. **v.13** καί[c] μή[xo] εἰσφέρω[vsaa2s] ἐγώ[rpa-p] εἰς[p] πειρασμός[nams] ἀλλά[c] ῥύομαι[vdad2s] ἐγώ[rpa-p] ἀπό[p] ὁ[dgms] πονηρός[agmsn] ὅτι[c] σύ[rpg-s] εἰμί[vipx3s] ὁ[dnfs] βασιλεία[nnfs] καί[c] ὁ[dnfs] δύναμις[nnfs] καί[c] ὁ[dnfs] δόξα[nnfs] εἰς[p] ὁ[damp] αἰών[namp] ἀμήν[th]. **v.14** ἐάν[qo] γάρ[c] ἀφίημι[vsaa2p] ὁ[ddmp] ἄνθρωπος[ndmp] ὁ[danp] παράπτωμα[nanp] αὐτός[rpgmp] ἀφίημι[vifa3s] καί[c] σύ[rpd-p] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ὁ[dnms] οὐράνιος[anmsn]. **v.15** ἐάν[qo] δέ[c] μή[xo] ἀφίημι[vsaa2p] ὁ[ddmp] ἄνθρωπος[ndmp] ὁ[danp] παράπτωμα[nanp] αὐτός[rpgmp] οὐδέ[bo] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-p] ἀφίημι[vifa3s] ὁ[danp] παράπτωμα[nanp] σύ[rpg-p]. **v.16** ὅταν[c] δέ[c] νηστεύω[vspa2p] μή[xo] γίνομαι[vdpn2p] ὥσπερ[bo] ὁ[dnmp] ὑποκριτής[nnmp] σκυθρωπός[anmpn] ἀφανίζω[vipa3p] γάρ[c] ὁ[danp] πρόσωπον[nanp] αὐτός[rpgmp] ὅπως[bo] φαίνω[vsap3p] ὁ[ddmp] ἄνθρωπος[ndmp] νηστεύω[vppanmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] ὅτι[c] ἀπέχω[vipa3p] ὁ[dams] μισθός[nams] αὐτός[rpgmp].

σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι. ὅπως μὴ 18
φανῇς τοῖς ἀνθρώποις νηστεύων ἀλλὰ τῷ πατρί σου τῷ ἐν
τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀπο-
δώσει σοι. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς 19
ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύσ-
σουσιν καὶ κλέπτουσιν, θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς 20
ἐν οὐρανῷ ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει καὶ ὅπου
κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν, ὅπου γάρ ἐ- 21
στιν ὁ θησαυρός ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμων. Ὁ 22
λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός ἐὰν οὖν ὁ ὀφθαλμός
σου ἁπλοῦς ᾖ ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται, ἐὰν δὲ 23
ὁ ὀφθαλμός σου πονηρὸς ᾖ ὅλον τὸ σῶμά σου σκοτεινὸν
ἔσται εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν τὸ σκότος πόσον.
Οὐδεὶς δύναται δυσὶν κυρίοις δουλεύειν, ἢ γὰρ τὸν ἕνα μι- 24
σήσει καὶ τὸν ἕτερον ἀγαπήσει ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ
ἑτέρου καταφρονήσει οὐ δύνασθε θεῷ δουλεύειν καὶ μα-
μωνᾷ. Διὰ τοῦτο λέγω ὑμῖν μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν 25
τί φάγητε καὶ τί πίητε μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε
οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐν-
δύματος. ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅτι οὐ 26

---

v.17 σύ[rpn-s] δέ[c] νηστεύω[vppanms] ἀλείφω[vdam2s] σύ[rpg-s] ὁ[dafs] κεφαλή[nafs] καί[c] ὁ[dans] πρόσωπον[nans] σύ[rpg-s] νίπτω[vdam2s]. **v.18** ὅπως[bo] μή[xo] φαίνω[vsap2s] ὁ[ddmp] ἄνθρωπος[ndmp] νηστεύω[vppanms] ἀλλά[c] ὁ[ddms] πατήρ[ndms] σύ[rpg-s] ὁ[ddms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] καί[c] ὁ[dnms] πατήρ[nnms] σύ[rpg-s] ὁ[dnms] βλέπω[vppanms] ἐν[p] ὁ[ddns] κρυπτός[adnsn] ἀποδίδωμι[vifa3s] σύ[rpd-s]. **v.19** μή[xo] θησαυρίζω[vdpa2p] σύ[rpd-p] θησαυρός[namp] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] ὅπου[bo] σής[nnms] καί[c] βρῶσις[nnfs] ἀφανίζω[vipa3s] καί[c] ὅπου[bo] κλέπτης[nnmp] διορύσσω[vipa3p] καί[c] κλέπτω[vipa3p]. **v.20** θησαυρίζω[vdpa2p] δέ[c] σύ[rpd-p] θησαυρός[namp] ἐν[p] οὐρανός[ndms] ὅπου[bo] οὔτε[c] σής[nnms] οὔτε[c] βρῶσις[nnfs] ἀφανίζω[vipa3s] καί[c] ὅπου[bo] κλέπτης[nnmp] οὐ[xo] διορύσσω[vipa3p] οὐδέ[bo] κλέπτω[vipa3p]. **v.21** ὅπου[bo] γάρ[c] εἰμί[vipx3s] ὁ[dnms] θησαυρός[nnms] σύ[rpg-p] ἐκεῖ[bo] εἰμί[vifx3s] καί[c] ὁ[dnfs] καρδία[nnfs] σύ[rpg-p]. **v.22** ὁ[dnms] λύχνος[nnms] ὁ[dgns] σῶμα[ngns] εἰμί[vipx3s] ὁ[dnms] ὀφθαλμός[nnms] ἐάν[qo] οὖν[c] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] ἁπλοῦς[anmsn] εἰμί[vspx3s] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] φωτεινός[annsn] εἰμί[vifx3s]. **v.23** ἐάν[qo] δέ[c] ὁ[dnms] ὀφθαλμός[nnms] σύ[rpg-s] πονηρός[anmsn] εἰμί[vspx3s] ὅλος[annsn] ὁ[dnns] σῶμα[nnns] σύ[rpg-s] σκοτεινός[annsn] εἰμί[vifx3s] εἰ[qo] οὖν[c] ὁ[dnns] φῶς[nnns] ὁ[dnns] ἐν[p] σύ[rpd-s] σκότος[nnns] εἰμί[vipx3s] ὁ[dnns] σκότος[nnns] πόσος[ronns]. **v.24** οὐδείς[anfsn] δύναμαι[vipn3s] δύο[ndmp] κύριος[ndmp] δουλεύω[vnpa] ἤ[xo] γάρ[c] ὁ[dams] εἷς[nams] μισέω[vifa3s] καί[c] ὁ[dams] ἕτερος[aamsn] ἀγαπάω[vifa3s] ἤ[xo] εἷς[ngms] ἀντέχω[vifd3s] καί[c] ὁ[dgms] ἕτερος[agmsn] καταφρονέω[vifa3s] οὐ[xo] δύναμαι[vipn2p] θεός[ndms] δουλεύω[vnpa] καί[c] μαμωνᾶς[ndns]. **v.25** διά[p] οὗτος[rdans] λέγω[vipa1s] σύ[rpd-p] μή[xo] μεριμνάω[vdpa2p] ὁ[ddfs] ψυχή[ndfs] σύ[rpg-p] τίς[rqans] ἐσθίω[vsaa2p] καί[c] τίς[rqans] πίνω[vsaa2p] μηδέ[c] ὁ[ddns] σῶμα[ndns] σύ[rpg-p] τίς[rqans] ἐνδύω[vsam2p] οὐχί[xo] ἤ[dnfs] ψυχή[nnfs] πολύς[annsc] εἰμί[vipx3s] ὁ[dgfs] τροφή[ngfs] καί[c] ὁ[dnns] σῶμα[nnns] ὁ[dgns] ἔνδυμα[ngns].

σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθή-
κας καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά, οὐχ ὑμεῖς
27 μᾶλλον διαφέρετε αὐτῶν. τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
28 προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα. καὶ περὶ ἐν-
δύματος τί μεριμνᾶτε καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς
29 αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει, λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σο-
λομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.
30 εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς
κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσιν οὐ πολλῷ
31 μᾶλλον ὑμᾶς ὀλιγόπιστοι. μὴ οὖν μεριμνήσητε λέγοντες
32 Τί φάγωμεν ἢ Τί πίωμεν ἢ Τί περιβαλώμεθα. πάντα γὰρ
ταῦτα τὰ ἔθνη ἐπιζητεῖ, οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
33 ὅτι χρῄζετε τούτων ἁπάντων. ζητεῖτε δὲ πρῶτον τὴν βασι-
λείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα
34 προστεθήσεται ὑμῖν. μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον
ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς, ἀρκετὸν τῇ ἡμέρᾳ ἡ
κακία αὐτῆς.

7, 2 Μὴ κρίνετε ἵνα μὴ κριθῆτε, ἐν ᾧ γὰρ κρίματι κρίνετε
κριθήσεσθε καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν.
3 τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ

---

v.26 ἐμβλέπω^{vdaa2p} εἰς^{p} ὁ^{danp} πετεινός^{nanp} ὁ^{dgms} οὐρανός^{ngms} ὅτι^{c} οὐ^{xo} σπείρω^{vipa3p} οὐδέ^{bo} θερίζω^{vipa3p} οὐδέ^{bo} συνάγω^{vipa3p} εἰς^{p} ἀποθήκη^{nafp} καί^{c} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg-p}$ ὁ^{dnms} οὐράνιος^{anmsn} τρέφω^{vipa3s} αὐτός^{rpanp} οὐ^{xo} σύ$^{rpn-p}$ μᾶλλον^{bo} διαφέρω^{vipa2p} αὐτός^{rpgnp}. **v.27** τίς^{rqnms} δέ^{c} ἐκ^{p} σύ$^{rpg-p}$ μεριμνάω^{vppanms} δύναμαι^{vipn3s} προστίθημι^{vnaa} ἐπί^{p} ὁ^{dafs} ἡλικία^{nafs} αὐτός^{rpgms} πῆχυς^{nams} εἷς^{nams}. **v.28** καί^{c} περί^{p} ἔνδυμα^{ngns} τίς^{rqans} μεριμνάω^{vdpa2p} καταμανθάνω^{vdaa2p} ὁ^{danp} κρίνον^{nanp} ὁ^{dgms} ἀγρός^{ngms} πῶς^{bo} αὐξάνω^{vipa3s} οὐ^{xo} κοπιάω^{vipa3s} οὐδέ^{bo} νήθω^{vipa3s}. **v.29** λέγω^{vipa1s} δέ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} οὐδέ^{bo} Σολομών^{nnms} ἐν^{p} πᾶς^{adfsn} ὁ^{ddfs} δόξα^{ndfs} αὐτός^{rpgms} περιβάλλω^{viam3s} ὡς^{bo} εἷς^{nans} οὗτος^{rdgnp}. **v.30** εἰ^{qo} δέ^{c} ὁ^{dams} χόρτος^{nams} ὁ^{dgms} ἀγρός^{ngms} σήμερον^{bo} εἰμί^{vppxams} καί^{c} αὔριον^{bo} εἰς^{p} κλίβανος^{nams} βάλλω^{vpppams} ὁ^{dnms} θεός^{nnms} οὕτω^{bo} ἀμφιέννυμι^{vipa3s} οὐ^{xo} πολύς^{adnsn} μᾶλλον^{bo} σύ$^{rpa-p}$ ὀλιγόπιστος^{avmpn}. **v.31** μή^{xo} οὖν^{c} μεριμνάω^{vsaa2p} λέγω^{vppanmp} τίς^{rqans} ἐσθίω^{vsaa1p} ἤ^{xo} τίς^{rqans} πίνω^{vsaa1p} ἤ^{xo} τίς^{rqans} περιβάλλω^{vsam1p}. **v.32** πᾶς^{aanpn} γάρ^{c} οὗτος^{rdanp} ὁ^{dnnp} ἔθνος^{nnnp} ἐπιζητέω^{vipa3s} οἶδα^{vixa3s} γάρ^{c} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg-p}$ ὁ^{dnms} οὐράνιος^{anmsn} ὅτι^{c} χρῄζω^{vipa2p} οὗτος^{rdgnp} ἅπας^{agnpn}. **v.33** ζητέω^{vdpa2p} δέ^{c} πρῶτος^{bo} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dafs} δικαιοσύνη^{nafs} αὐτός^{rpgms} καί^{c} οὗτος^{rdnnp} πᾶς^{annpn} προστίθημι^{vifp3s} σύ$^{rpd-p}$. **v.34** μή^{xo} οὖν^{c} μεριμνάω^{vsaa2p} εἰς^{p} ὁ^{dafs} αὔριον^{bo} ὁ^{dnfs} γάρ^{c} αὔριον^{bo} μεριμνάω^{vifa3s} ὁ^{danp} ἑαυτοῦ^{rxgfs} ἀρκετός^{annsn} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὁ^{dnfs} κακία^{nnfs} αὐτός^{rpgfs}. **7. v.1** μή^{xo} κρίνω^{vdpa2p} ἵνα^{c} μή^{xo} κρίνω^{vsap2p}. **v.2** ἐν^{p} ὅς^{rrdns} γάρ^{c} κρίμα^{ndns} κρίνω^{vipa2p} κρίνω^{vifp2p} καί^{c} ἐν^{p} ὅς^{rrdns} μέτρον^{ndns} μετρέω^{vipa2p} μετρέω^{vifp3s} σύ$^{rpd-p}$.

σου τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς. ἢ 4
πῶς ἐρεῖς τῷ ἀδελφῷ σου Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ
ὀφθαλμοῦ σου καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σοῦ. ὑ- 5
ποκριτά ἔκβαλε πρῶτον τὴν δοκόν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ
καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ
τοῦ ἀδελφοῦ σου. Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσίν μηδὲ βά- 6
λητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων μήποτε
καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στραφέν-
τες ῥήξωσιν ὑμᾶς. Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν ζητεῖτε καὶ 7
εὑρήσετε κρούετε καὶ ἀνοιγήσεται ὑμῖν, πᾶς γὰρ ὁ αἰτῶν 8
λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται.
ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ 9
ἄρτον μὴ λίθον ἐπιδώσει αὐτῷ. καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ 10
ὄφιν ἐπιδώσει αὐτῷ. εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε 11
δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν πόσῳ μᾶλλον ὁ
πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν
αὐτόν. Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄν- 12
θρωποι οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς, οὗτος γάρ ἐστιν ὁ
νόμος καὶ οἱ προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, 13
ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς

---

v.3 τίς^{rqans} δέ^{c} βλέπω^{vipa2s} ὁ^{dans} κάρφος^{nans} ὁ^{dans} ἐν^{p} ὁ^{ddms} ὀφθαλμός^{ndms} ὁ^{dgms} ἀδελφός^{ngms} σύ$^{rpg-s}$ ὁ^{dafs} δέ^{c} ἐν^{p} ὁ^{ddms} σός^{rsdms} ὀφθαλμός^{ndms} δοκός^{nafs} οὐ^{xo} κατανοέω^{vipa2s}.
v.4 ἤ^{xo} πῶς^{bo} λέγω^{vifa2s} ὁ^{ddms} ἀδελφός^{ndms} σύ$^{rpg-s}$ ἀφίημι^{vdaa2s} ἐκβάλλω^{vsaa1s} ὁ^{dans} κάρφος^{nans} ἀπό^{p} ὁ^{dgms} ὀφθαλμός^{ngms} σύ$^{rpg-s}$ καί^{c} ἰδού^{vdaa2s} ὁ^{dnfs} δοκός^{nnfs} ἐν^{p} ὁ^{ddms} ὀφθαλμός^{ndms} σύ$^{rpg-s}$. **v.5** ὑποκριτής^{nvms} ἐκβάλλω^{vdaa2s} πρῶτος^{bo} ὁ^{dafs} δοκός^{nafs} ἐκ^{p} ὁ^{dgms} ὀφθαλμός^{ngms} σύ$^{rpg-s}$ καί^{c} τότε^{bo} διαβλέπω^{vifa2s} ἐκβάλλω^{vnaa} ὁ^{dans} κάρφος^{nans} ἐκ^{p} ὁ^{dgms} ὀφθαλμός^{ngms} ὁ^{dgms} ἀδελφός^{ngms} σύ$^{rpg-s}$. **v.6** μή^{xo} δίδωμι^{vsaa2p} ὁ^{dans} ἅγιος^{aansn} ὁ^{ddmp} κύων^{ndmp} μηδέ^{c} βάλλω^{vsaa2p} ὁ^{damp} μαργαρίτης^{namp} σύ$^{rpg-p}$ ἔμπροσθεν^{p} ὁ^{dgmp} χοῖρος^{ngmp} μήποτε^{bo} καταπατέω^{vsaa3p} αὐτός^{rpamp} ἐν^{p} ὁ^{ddmp} πούς^{ndmp} αὐτός^{rpgmp} καί^{c} στρέφω^{vpapnmp} ῥήγνυμι^{vsaa3p} σύ$^{rpa-p}$. **v.7** αἰτέω^{vdpa2p} καί^{c} δίδωμι^{vifp3s} σύ$^{rpd-p}$ ζητέω^{vdpa2p} καί^{c} εὑρίσκω^{vifa2p} κρούω^{vdpa2p} καί^{c} ἀνοίγω^{vifp3s} σύ$^{rpd-p}$. **v.8** πᾶς^{anmsn} γάρ^{c} ὁ^{dnms} αἰτέω^{vppanms} λαμβάνω^{vipa3s} καί^{c} ὁ^{dnms} ζητέω^{vppanms} εὑρίσκω^{vipa3s} καί^{c} ὁ^{ddms} κρούω^{vppadms} ἀνοίγω^{vifp3s}. **v.9** ἤ^{xo} τίς^{rqnms} εἰμί^{vipx3s} ἐκ^{p} σύ$^{rpg-p}$ ἄνθρωπος^{nnms} ὅς^{rrams} ἐάν^{qo} αἰτέω^{vsaa3s} ὁ^{dnms} υἱός^{nnms} αὐτός^{rpgms} ἄρτος^{nams} μή^{xo} λίθος^{nams} ἐπιδίδωμι^{vifa3s} αὐτός^{rpdms}. **v.10** καί^{c} ἐάν^{qo} ἰχθύς^{nams} αἰτέω^{vsaa3s} μή^{xo} ὄφις^{nams} ἐπιδίδωμι^{vifa3s} αὐτός^{rpdms}. **v.11** εἰ^{qo} οὖν^{c} σύ$^{rpn-p}$ πονηρός^{anmpn} εἰμί^{vppxnmp} οἶδα^{vixa2p} δόμα^{nanp} ἀγαθός^{aanpn} δίδωμι^{vnpa} ὁ^{ddnp} τέκνον^{ndnp} σύ$^{rpg-p}$ πόσος^{rodns} μᾶλλον^{bo} ὁ^{dnms} πατήρ^{nnms} σύ$^{rpg-p}$ ὁ^{dnms} ἐν^{p} ὁ^{ddmp} οὐρανός^{ndmp} δίδωμι^{vifa3s} ἀγαθός^{aanpn} ὁ^{ddmp} αἰτέω^{vppadmp} αὐτός^{rpams}. **v.12** πᾶς^{aanpn} οὖν^{c} ὅσος^{rcanp} ἄν^{xo} θέλω^{vspa2p} ἵνα^{c} ποιέω^{vspa3p} σύ$^{rpd-p}$ ὁ^{dnmp} ἄνθρωπος^{nnmp} οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ ποιέω^{vdpa2p} αὐτός^{rpdmp} οὗτος^{rdnms} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnms} νόμος^{nnms} καί^{c} ὁ^{dnmp} προφήτης^{nnmp}.

τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι᾽ αὐτῆς,
14 τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν
15 ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε
δὲ ἀπὸ τῶν ψευδοπροφητῶν οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν
16 ἐνδύμασιν προβάτων ἔσωθεν δὲ εἰσιν λύκοι ἅρπαγες. ἀπὸ
τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς μήτι συλλέγουσιν
17 ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα. οὕτως
πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ τὸ δὲ σαπρὸν
18 δένδρον καρποὺς πονηροὺς ποιεῖ. οὐ δύναται δένδρον
ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν οὐδὲ δένδρον σαπρὸν
19 καρποὺς καλοὺς ποιεῖν. πᾶν δένδρον μὴ ποιοῦν καρπὸν
20 καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἄραγε ἀπὸ τῶν
21 καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι
Κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν
ἀλλ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.
22 πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ Κύριε κύριε οὐ τῷ
σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια
ἐξεβάλομεν καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσα-
23 μεν. καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι Οὐδέποτε ἔγνων ὑμᾶς,

---

v.13 εἰσέρχομαι^{vdaa2p} διά^{p} ὁ^{dgfs} στενός^{agfsn} πύλη^{ngfs} ὅτι^{c} πλατύς^{anfsn} ὁ^{dnfs} πύλη^{nnfs} καί^{c} εὐρύχωρος^{nnfs} ὁ^{dnfs} ὁδός^{nnfs} ὁ^{dnfs} ἀπάγω^{vppanfs} εἰς^{p} ὁ^{dafs} ἀπώλεια^{nafs} καί^{c} πολύς^{anmpn} εἰμί^{vipx3p} ὁ^{dnmp} εἰσέρχομαι^{vppnnmp} διά^{p} αὐτός^{rpgfs}. **v.14** τίς^{rqnns} στενός^{anfsn} ὁ^{dnfs} πύλη^{nnfs} καί^{c} θλίβω^{vpxpnfs} ὁ^{dnfs} ὁδός^{nnfs} ὁ^{dnfs} ἀπάγω^{vppanfs} εἰς^{p} ὁ^{dafs} ζωή^{nafs} καί^{c} ὀλίγος^{anmpn} εἰμί^{vipx3p} ὁ^{dnmp} εὑρίσκω^{vppanmp} αὐτός^{rpafs}. **v.15** προσέχω^{vdpa2p} δέ^{c} ἀπό^{p} ὁ^{dgmp} ψευδοπροφήτης^{ngmp} ὅστις^{rrnmp} ἔρχομαι^{vipn3p} πρός^{p} σύ$^{rpa-p}$ ἐν^{p} ἔνδυμα^{ndnp} πρόβατον^{ngnp} ἔσωθεν^{bo} δέ^{c} εἰμί^{vipx3p} λύκος^{nnmp} ἅρπαξ^{anmpn}. **v.16** ἀπό^{p} ὁ^{dgmp} κάρπος^{ngmp} αὐτός^{rpgmp} ἐπιγινώσκω^{vifd2p} αὐτός^{rpamp} μήτι^{xo} συλλέγω^{vipa3p} ἀπό^{p} ἄκανθα^{ngfp} σταφυλή^{nafs} ἤ^{xo} ἀπό^{p} τρίβολος^{ngmp} σῦκον^{nanp}. **v.17** οὕτω^{bo} πᾶς^{annsn} δένδρον^{nnns} ἀγαθός^{annsn} καρπός^{namp} καλός^{aampn} ποιέω^{vipa3s} ὁ^{dnns} δέ^{c} σαπρός^{annsn} δένδρον^{nnns} καρπός^{namp} πονηρός^{aampn} ποιέω^{vipa3s}. **v.18** οὐ^{xo} δύναμαι^{vipn3s} δένδρον^{nnns} ἀγαθός^{annsn} καρπός^{namp} πονηρός^{aampn} ποιέω^{vnpa} οὐδέ^{bo} δένδρον^{nnns} σαπρός^{annsn} καρπός^{namp} καλός^{aampn} ποιέω^{vnpa}. **v.19** πᾶς^{annsn} δένδρον^{nnns} μή^{xo} ποιέω^{vppanns} καρπός^{nams} καλός^{aamsn} ἐκκόπτω^{vipp3s} καί^{c} εἰς^{p} πῦρ^{nans} βάλλω^{vipp3s}. **v.20** ἀράγε^{xo} ἀπό^{p} ὁ^{dgmp} κάρπος^{ngmp} αὐτός^{rpgmp} ἐπιγινώσκω^{vifd2p} αὐτός^{rpamp}. **v.21** οὐ^{xo} πᾶς^{anmsn} ὁ^{dnms} λέγω^{vppanms} ἐγώ$^{rpd-s}$ κύριος^{nvms} κύριος^{nvms} εἰσέρχομαι^{vifd3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgmp} οὐρανός^{ngmp} ἀλλά^{c} ὁ^{dnms} ποιέω^{vppanms} ὁ^{dans} θέλημα^{nans} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$ ὁ^{dgms} ἐν^{p} οὐρανός^{ndmp}. **v.22** πολύς^{anmpn} λέγω^{vifa3p} ἐγώ$^{rpd-s}$ ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} κύριος^{nvms} κύριος^{nvms} οὐ^{xo} ὁ^{ddms} σός^{rsdms} ὄνομα^{ndns} προφητεύω^{viaa1p} καί^{c} ὁ^{ddms} σός^{rsdms} ὄνομα^{ndns} δαιμόνιον^{nanp} ἐκβάλλω^{viaa1p} καί^{c} ὁ^{ddms} σός^{rsdms} ὄνομα^{ndns} δύναμις^{nafp} πολύς^{aafpn} ποιέω^{viaa1p}.

ἀποχωρεῖτε ἀπ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Πᾶς οὖν 24
ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτοὺς ὁ-
μοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ ὅστις ᾠκοδόμησεν τὴν οἰκίαν
αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ 25
ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ
ἐκείνῃ καὶ οὐκ ἔπεσεν τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.
καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν 26
αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ ὅστις ᾠκοδόμησεν τὴν
οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ καὶ ἦλ- 27
θον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν
τῇ οἰκίᾳ ἐκείνῃ καὶ ἔπεσεν καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.
Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους 28
ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ἦν γὰρ διδά- 29
σκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς.

Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄ- **8**
χλοι πολλοί. καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέ- 2
γων Κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας 3
τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς λέγων Θέλω καθαρίσθητι,
καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. καὶ λέγει αὐτῷ ὁ 4
Ἰησοῦς Ὅρα μηδενὶ εἴπῃς ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον τῷ

---

v.23 καί[c] τότε[bo] ὁμολογέω[vifa1s] αὐτός[rpdmp] ὅτι[c] οὐδέποτε[bo] γινώσκω[viaa1s] σύ[rpa-p] ἀποχωρέω[vdpa2p] ἀπό[p] ἐγώ[rpg-s] ὁ[dnmp] ἐργάζομαι[vppnnmp] ὁ[dafs] ἀνομία[nafs]. **v.24** πᾶς[anmsn] οὖν[c] ὅστις[rrnms] ἀκούω[vipa3s] ἐγώ[rpg-s] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] καί[c] ποιέω[vipa3s] αὐτός[rpamp] ὁμοιόω[vifa1s] αὐτός[rpams] ἀνήρ[ndms] φρόνιμος[admsn] ὅστις[rrnms] οἰκοδομέω[viaa3s] ὁ[dafs] οἰκία[nafs] αὐτός[rpgms] ἐπί[p] ὁ[dafs] πέτρα[nafs]. **v.25** καί[c] καταβαίνω[viaa3s] ὁ[dnfs] βροχή[nnfs] καί[c] ἔρχομαι[viaa3p] ὁ[dnmp] ποταμός[nnmp] καί[c] πνέω[viaa3p] ὁ[dnmp] ἄνεμος[nnmp] καί[c] προσπίπτω[viaa3p] ὁ[ddfs] οἰκία[ndfs] ἐκεῖνος[rddfs] καί[c] οὐ[xo] πίπτω[viaa3s] θεμελιόω[viyp3s] γάρ[c] ἐπί[p] ὁ[dafs] πέτρα[nafs]. **v.26** καί[c] πᾶς[anmsn] ὁ[dnms] ἀκούω[vppanms] ἐγώ[rpg-s] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] καί[c] μή[xo] ποιέω[vppanms] αὐτός[rpamp] ὁμοιόω[vifp3s] ἀνήρ[ndms] μωρός[admsn] ὅστις[rrnms] οἰκοδομέω[viaa3s] ὁ[dafs] οἰκία[nafs] αὐτός[rpgms] ἐπί[p] ὁ[dafs] ἄμμος[nafs]. **v.27** καί[c] καταβαίνω[viaa3s] ὁ[dnfs] βροχή[nnfs] καί[c] ἔρχομαι[viaa3p] ὁ[dnmp] ποταμός[nnmp] καί[c] πνέω[viaa3p] ὁ[dnmp] ἄνεμος[nnmp] καί[c] προσκόπτω[viaa3p] ὁ[ddfs] οἰκία[ndfs] ἐκεῖνος[rddfs] καί[c] πίπτω[viaa3s] καί[c] εἰμί[viix3s] ὁ[dnfs] πτῶσις[nnfs] αὐτός[rpgfs] μέγας[anfsn]. **v.28** καί[c] γίνομαι[viad3s] ὅτε[bo] συντελέω[viaa3s] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[damp] λόγος[namp] οὗτος[rdamp] ἐκπλήσσω[viip3p] ὁ[dnmp] ὄχλος[nnmp] ἐπί[p] ὁ[ddfs] διδαχή[ndfs] αὐτός[rpgms]. **v.29** εἰμί[viix3s] γάρ[c] διδάσκω[vppanms] αὐτός[rpamp] ὡς[bo] ἐξουσία[nafs] ἔχω[vppanms] καί[c] οὐ[xo] ὡς[bo] ὁ[dnmp] γραμματεύς[nnmp]. **8. v.1** καταβαίνω[vpaadms] δέ[c] αὐτός[rpdms] ἀπό[p] ὁ[dgns] ὄρος[ngns] ἀκολουθέω[viaa3p] αὐτός[rpdms] ὄχλος[nnmp] πολύς[anmpn]. **v.2** καί[c] ἰδού[vdaa2s] λεπρός[anmsn] ἔρχομαι[vpaanms] προσκυνέω[viia3s] αὐτός[rpdms] λέγω[vppanms] κύριος[nvms] ἐάν[qo] θέλω[vspa2s] δύναμαι[vipn2s] ἐγώ[rpa-s] καθαρίζω[vnaa]. **v.3** καί[c] ἐκτείνω[vpaanfs] ὁ[dafs] χείρ[nafs] ἅπτω[viad3s] αὐτός[rpgms] ὁ[dnms] Ἰησοῦς[nnms] λέγω[vppanms] θέλω[vipa1s] καθαρίζω[vdap2s] καί[c] εὐθέως[bo] καθαρίζω[viap3s] αὐτός[rpgms] ὁ[dnfs] λέπρα[nnfs].

ἱερεῖ καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξεν Μωσῆς, εἰς
5 μαρτύριον αὐτοῖς. Εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναούμ,
6 προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν. καὶ
λέγων Κύριε ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός
7 δεινῶς βασανιζόμενος. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ ἐλ-
8 θὼν θεραπεύσω αὐτόν. καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος
ἔφη Κύριε οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσ-
ἐλθῃς ἀλλὰ μόνον εἰπὲ λόγῳ καὶ ἰαθήσεται ὁ παῖς μου.
9 καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν ἔχων ὑπ ἐμαυτὸν
στρατιώτας καὶ λέγω τούτῳ Πορεύθητι καὶ πορεύεται καὶ
ἄλλῳ Ἔρχου καὶ ἔρχεται καὶ τῷ δούλῳ μου Ποίησον τοῦτο
10 καὶ ποιεῖ. ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν καὶ εἶπεν τοῖς
ἀκολουθοῦσιν Ἀμὴν λέγω ὑμῖν οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύ-
11 την πίστιν εὗρον. λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν
καὶ δυσμῶν ἥξουσιν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ
12 Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. οἱ δὲ υἱ-
οὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον,
13 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ
εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῃ Ὕπαγε καὶ ὡς ἐπίστευσας

---

v.4 καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁράω[vdpa2s] μηδείς[admsn] λέγω[vsaa2s] ἀλλά[c] ὑπάγω[vdpa2s] σεαυτοῦ[rxams] δείκνυμι[vdaa2s] ὁ[ddms] ἱερεύς[ndms] καί[c] προσφέρω[vdaa2s] ὁ[dans] δῶρον[nans] ὅς[rrans] προστάσσω[viaa3s] Μωϋσῆς[nnms] εἰς[p] μαρτύριον[nans] αὐτός[rpdmp]. **v.5** εἰσέρχομαι[vpaadms] δέ[c] αὐτός[rpdms] εἰς[p] Καπερναούμ[tp] προσέρχομαι[viaa3s] αὐτός[rpdms] ἑκατοντάρχης[nnms] παρακαλέω[vppanms] αὐτός[rpams]. **v.6** καί[c] λέγω[vppanms] κύριος[nvms] ὁ[dnms] παῖς[nnms] ἐγώ[rpg-s] βάλλω[vixp3s] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] παραλυτικός[anmsn] δεινῶς[bo] βασανίζω[vpppnms]. **v.7** καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐγώ[rpn-s] ἔρχομαι[vpaanms] θεραπεύω[vifa1s] αὐτός[rpams]. **v.8** καί[c] ἀποκρίνομαι[vpaonms] ὁ[dnms] ἑκατοντάρχης[nnms] φημί[viix3s] κύριος[nvms] οὐ[xo] εἰμί[vipx1s] ἱκανός[anmsn] ἵνα[c] ἐγώ[rpg-s] ὑπό[p] ὁ[dafs] στέγη[nafs] εἰσέρχομαι[vsaa2s] ἀλλά[c] μόνος[bo] λέγω[vdaa2s] λόγος[ndms] καί[c] ἰάομαι[vifp3s] ὁ[dnms] παῖς[nnms] ἐγώ[rpg-s]. **v.9** καί[c] γάρ[c] ἐγώ[rpn-s] ἄνθρωπος[nnms] εἰμί[vipx1s] ὑπό[p] ἐξουσία[nafs] ἔχω[vppanms] ὑπό[p] ἐμαυτοῦ[rxams] στρατιώτης[namp] καί[c] λέγω[vipa1s] οὗτος[rddms] πορεύομαι[vdao2s] καί[c] πορεύομαι[vipn3s] καί[c] ἄλλος[admsn] ἔρχομαι[vipn2s] καί[c] ἔρχομαι[vipn3s] καί[c] ὁ[ddms] δοῦλος[ndms] ἐγώ[rpg-s] ποιέω[vdaa2s] οὗτος[rdans] καί[c] ποιέω[vipa3s]. **v.10** ἀκούω[vpaanms] δέ[c] ὁ[dnms] Ἰησοῦς[nnms] θαυμάζω[viaa3s] καί[c] λέγω[viaa3s] ὁ[ddmp] ἀκολουθέω[vppadmp] ἀμήν[th] λέγω[vipa1s] σύ[rpd-p] οὐδέ[bo] ἐν[p] ὁ[ddms] Ἰσραήλ[tp] τοσοῦτος[rdafs] πίστις[nafs] εὑρίσκω[viaa1s]. **v.11** λέγω[vipa1s] δέ[c] σύ[rpd-p] ὅτι[c] πολύς[anmpn] ἀπό[p] ἀνατολή[ngfp] καί[c] δυσμή[ngfp] ἥκω[vifa3p] καί[c] ἀνακλίνω[vifp3p] μετά[p] Ἀβραάμ[tp] καί[c] Ἰσαάκ[tp] καί[c] Ἰακώβ[tp] ἐν[p] ὁ[ddfs] βασιλεία[ndfs] ὁ[dgmp] οὐρανός[ngmp]. **v.12** ὁ[dnmp] δέ[c] υἱός[nnmp] ὁ[dgfs] βασιλεία[ngfs] ἐκβάλλω[vifp3p] εἰς[p] ὁ[dans] σκότος[nans] ὁ[dans] ἐξώτερος[aansn] ἐκεῖ[bo] εἰμί[vifx3s] ὁ[dnms] κλαυθμός[nnms] καί[c] ὁ[dnms] βρυγμός[nnms] ὁ[dgmp] ὀδούς[ngmp].

γενηθήτω σοι καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ. Καὶ 14
ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου εἶδεν τὴν πενθερὰν
αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν, καὶ ἥψατο τῆς χει- 15
ρὸς αὐτῆς καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός καὶ ἠγέρθη καὶ
διηκόνει αὐτῷ. Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ 16
δαιμονιζομένους πολλούς, καὶ ἐξέβαλεν τὰ πνεύματα λό-
γῳ καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν. ὅπως 17
πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος Αὐ-
τὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβεν καὶ τὰς νόσους ἐβάστασεν.
Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν ἐκέλευσεν 18
ἀπελθεῖν εἰς τὸ πέραν. καὶ προσελθὼν εἷς γραμματεὺς 19
εἶπεν αὐτῷ Διδάσκαλε ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ.
καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ 20
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις ὁ δὲ υἱὸς τοῦ ἀν-
θρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. ἕτερος δὲ τῶν 21
μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ Κύριε ἐπίτρεψόν μοι πρῶτον
ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. ὁ δὲ Ἰησοῦς εἶπεν 22
αὐτῷ Ἀκολούθει μοι καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς
ἑαυτῶν νεκρούς. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον ἠκολού- 23

---

v.13 καίc λέγωviaa3s ὁdnms Ἰησοῦςnnms ὁddms ἑκατοντάρχηςndms ὑπάγωvdpa2s καίc
ὡςbo πιστεύωviaa2s γίνομαιvdao3s σύrpd-s καίc ἰάομαιviap3s ὁdnms παῖςnnms αὐτόςrpgms
ἐνp ὁddfs ὥραndfs ἐκεῖνοςrddfs. **v.14** καίc ἔρχομαιvpaanms ὁdnms Ἰησοῦςnnms εἰςp
ὁdafs οἰκίαnafs Πέτροςngms ὁράωviaa3s ὁdafs πενθερὰnafs αὐτόςrpgms βάλλωvpxpafs καίc
πυρέσσωvppaafs. **v.15** καίc ἅπτωviad3s ὁdgfs χείρngfs αὐτόςrpgfs καίc ἀφίημιviaa3s αὐτόςrpafs
ὁdnms πυρετόςnnms καίc ἐγείρωviap3s καίc διακονέωviia3s αὐτόςrpdms. **v.16** ὄψιοςagfsn δέc
γίνομαιvpadgfs προσφέρωviaa3p αὐτόςrpdms δαιμονίζομαιvppnamp πολύςaampn καίc ἐκβάλλωviaa3s
ὁdanp πνεῦμαnanp λόγοςndms καίc πᾶςaampn ὁdamp κακῶςbo ἔχωvppaamp θεραπεύωviaa3s.
v.17 ὅπωςbo πληρόωvsap3s ὁdnns λέγωvpapnns διάp Ἡσαΐαςngms ὁdgms προφήτηςngms
λέγωvppagns αὐτόςrpnms ὁdafp ἀσθένειαnafp ἐγώrpg-p λαμβάνωviaa3s καίc ὁdafp νόσοςnafp
βαστάζωviaa3s. **v.18** ὁράωvpaanms δέc ὁdnms Ἰησοῦςnnms πολύςaampn ὄχλοςnamp περίp
αὐτόςrpams κελεύωviaa3s ἀπέρχομαιvnaa εἰςp ὁdans πέρανbo. **v.19** καίc προσέρχομαιvpaanms
εἷςnnms γραμματεύςnnms λέγωviaa3s αὐτόςrpdms διδάσκαλοςnvms ἀκολουθέωvifa1s σύrpd-s
ὅπουbo ἐάνgo ἀπέρχομαιvspn2s. **v.20** καίc λέγωvipa3s αὐτόςrpdms ὁdnms Ἰησοῦςnnms
ὁdnfp ἀλώπηξnnfp φωλεόςnamp ἔχωvipa3p καίc ὁdnnp πετεινόςnnnp ὁdgms οὐρανόςngms
κατασκήνωσιςnafp ὁdnms δέc υἱόςnnms ὁdgms ἄνθρωποςngms οὐxo ἔχωvipa3s ποῦxo ὁdafs
κεφαλήnafs κλίνωvspa3s. **v.21** ἕτεροςanmsn δέc ὁdgmp μαθητήςngmp αὐτόςrpgms λέγωviaa3s
αὐτόςrpdms κύριοςnvms ἐπιτρέπωvdaa2s ἐγώrpd-s πρῶτοςbo ἀπέρχομαιvnaa καίc θάπτωvnaa ὁdams
πατήρnams ἐγώrpg-s. **v.22** ὁdnms δέc Ἰησοῦςnnms λέγωviaa3s αὐτόςrpdms ἀκολουθέωvdpa2s
ἐγώrpd-s καίc ἀφίημιvdaa2s ὁdamp νεκρόςaampn θάπτωvnaa ὁdamp ἑαυτοῦrxgmp νεκρόςaampn.

24 θησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδοὺ σεισμὸς μέγας
ἐγένετο ἐν τῇ θαλάσσῃ ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ
25 τῶν κυμάτων αὐτὸς δὲ ἐκάθευδεν. καὶ προσελθόντες οἱ
μαθηταὶ ἤγειραν αὐτὸν λέγοντες Κύριε σῶσον ἡμᾶς, ἀπολ-
26 λύμεθα. καὶ λέγει αὐτοῖς Τί δειλοί ἐστε ὀλιγόπιστοι τότε
ἐγερθεὶς ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ἐγέ-
27 νετο γαλήνη μεγάλη. οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγοντες
Ποταπός ἐστιν οὗτος ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπα-
28 κούουσιν αὐτῷ. Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν
χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζό-
μενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι χαλεποὶ λίαν ὥστε μὴ
29 ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. καὶ ἰδοὺ
ἔκραξαν λέγοντες Τί ἡμῖν καὶ σοί Ἰησου, υἱὲ τοῦ θεοῦ ἦλ-
30 θες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς. ἦν δὲ μακρὰν ἀπ
31 αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. οἱ δὲ δαίμονες
παρεκάλουν αὐτὸν λέγοντες Εἰ ἐκβάλλεις ἡμᾶς ἐπίτρεψον
32 ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. καὶ εἶπεν αὐ-
τοῖς Ὑπάγετε οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν
χοίρων, καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ
τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἀπέθανον ἐν τοῖς ὕδα-

---

v.23 καί^{c} ἐμβαίνω^{vpaadms} αὐτός^{rpdms} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.24** καί^{c} ἰδού^{vdaa2s} σεισμός^{nnms} μέγας^{anmsn} γίνομαι^{viad3s} ἐν^{p} ὁ^{ddfs} θάλασσα^{ndfs} ὥστε^{c} ὁ^{dnns} πλοῖον^{nnns} καλύπτω^{vnpp} ὑπό^{p} ὁ^{dgnp} κῦμα^{ngnp} αὐτός^{rpnms} δέ^{c} καθεύδω^{viia3s}. **v.25** καί^{c} προσέρχομαι^{vpaanmp} ὁ^{dnmp} μαθητής^{nnmp} ἐγείρω^{viaa3p} αὐτός^{rpams} λέγω^{vppanmp} κύριος^{nvms} σῴζω^{vdaa2s} ἐγώ$^{rpa-p}$ ἀπόλλυμι^{vipm1p}. **v.26** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} τίς^{rqnns} δειλός^{anmpn} εἰμί^{vipx2p} ὀλιγόπιστος^{avmpn} τότε^{bo} ἐγείρω^{vpapnms} ἐπιτιμάω^{viaa3s} ὁ^{ddmp} ἄνεμος^{ndmp} καί^{c} ὁ^{ddfs} θάλασσα^{ndfs} καί^{c} γίνομαι^{viad3s} γαλήνη^{nnfs} μέγας^{anfsn}. **v.27** ὁ^{dnmp} δέ^{c} ἄνθρωπος^{nnmp} θαυμάζω^{viaa3p} λέγω^{vppanmp} ποταπός^{anmsn} εἰμί^{vipx3s} οὗτος^{rdnms} ὅτι^{c} καί^{c} ὁ^{dnmp} ἄνεμος^{nnmp} καί^{c} ὁ^{dnfs} θάλασσα^{nnfs} ὑπακούω^{vipa3p} αὐτός^{rpdms}. **v.28** καί^{c} ἔρχομαι^{vpaadms} αὐτός^{rpdms} εἰς^{p} ὁ^{dans} πέραν^{bo} εἰς^{p} ὁ^{dafs} χώρα^{nafs} ὁ^{dgmp} Γερασηνός^{ngmp} ὑπαντάω^{viaa3p} αὐτός^{rpdms} δύο^{tn} δαιμονίζομαι^{vppnnmp} ἐκ^{p} ὁ^{dgnp} μνημεῖον^{ngnp} ἐξέρχομαι^{vppnnmp} χαλεπός^{anmpn} λίαν^{bo} ὥστε^{c} μή^{xo} ἰσχύω^{vnpa} τι-σριαμσ παρέρχομαι^{vnaa} διά^{p} ὁ^{dgfs} ὁδός^{ngfs} ἐκεῖνος^{rdgfs}. **v.29** καί^{c} ἰδού^{vdaa2s} κράζω^{viaa3p} λέγω^{vppanmp} τίς^{rqnns} ἐγώ$^{rpd-p}$ καί^{c} σύ$^{rpd-s}$ Ἰησοῦς^{nvms} υἱός^{nvms} ὁ^{dgms} θεός^{ngms} ἔρχομαι^{viaa2s} ὧδε^{bo} πρό^{p} καιρός^{ngms} βασανίζω^{vnaa} ἐγώ$^{rpa-p}$. **v.30** εἰμί^{viix3s} δέ^{c} μακράν^{bo} ἀπό^{p} αὐτός^{rpgmp} ἀγέλη^{nnfs} χοῖρος^{ngmp} πολύς^{agmpn} βόσκω^{vpppnfs}. **v.31** ὁ^{dnmp} δέ^{c} δαίμων^{nnmp} παρακαλέω^{viia3p} αὐτός^{rpams} λέγω^{vppanmp} εἰ^{qo} ἐκβάλλω^{vipa2s} ἐγώ$^{rpa-p}$ ἐπιτρέπω^{vdaa2s} ἐγώ$^{rpd-p}$ ἀπέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dafs} ἀγέλη^{nafs} ὁ^{dgmp} χοῖρος^{ngmp}.

σιν. οἱ δὲ βόσκοντες ἔφυγον καὶ ἀπελθόντες εἰς τὴν πόλιν 33
ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων. καὶ ἰδοὺ 34
πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ καὶ ἰδόντες
αὐτὸν παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν **9**
ἰδίαν πόλιν. καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐ- 2
πὶ κλίνης βεβλημένον καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν
εἶπεν τῷ παραλυτικῷ Θάρσει τέκνον ἀφέωνταί σοί αἱ ἁμαρ-
τίαι σου. καὶ ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς 3
Οὗτος βλασφημεῖ. καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐ- 4
τῶν εἶπεν ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις
ὑμῶν. τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν Ἀφέωνταί σου αἱ 5
ἁμαρτίαι ἢ εἰπεῖν Ἔγειραι καὶ περιπάτει. ἵνα δὲ εἰδῆτε 6
ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι
ἁμαρτίας τότε λέγει τῷ παραλυτικῷ Ἐγερθεὶς ἆρόν σου τὴν
κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἐγερθεὶς ἀπῆλ- 7
θεν εἰς τὸν οἶκον αὐτοῦ. ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, 8
καὶ ἐδόξασαν τὸν θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς
ἀνθρώποις. Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρω- 9

---

v.32 καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὑπάγω^{vdpa2p} ὁ^{dnmp} δέ^{c} ἐξέρχομαι^{vpaanmp} ἀπέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} ἀγέλη^{nafs} ὁ^{dgmp} χοῖρος^{ngmp} καί^{c} ἰδού^{vdaa2s} ὁρμάω^{viaa3s} πᾶς^{anfsn} ὁ^{dnfs} ἀγέλη^{nnfs} ὁ^{dgmp} χοῖρος^{ngmp} κατά^{p} ὁ^{dgms} κρημνός^{ngms} εἰς^{p} ὁ^{dafs} θάλασσα^{nafs} καί^{c} ἀποθνήσκω^{viaa3p} ἐν^{p} ὁ^{ddnp} ὕδωρ^{ndnp}. **v.33** ὁ^{dnmp} δέ^{c} βόσκω^{vppanmp} φεύγω^{viaa3p} καί^{c} ἀπέρχομαι^{vpaanmp} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} ἀπαγγέλλω^{viaa3p} πᾶς^{aanpn} καί^{c} ὁ^{danp} ὁ^{dgmp} δαιμονίζομαι^{vppngmp}. **v.34** καί^{c} ἰδού^{vdaa2s} πᾶς^{anfsn} ὁ^{dnfs} πόλις^{nnfs} ἐξέρχομαι^{viaa3s} εἰς^{p} συνάντησις^{nafs} ὁ^{ddms} Ἰησοῦς^{ndms} καί^{c} ὁράω^{vpaanmp} αὐτός^{rpams} παρακαλέω^{viaa3p} ὅπως^{bo} μεταβαίνω^{vsaa3s} ἀπό^{p} ὁ^{dgnp} ὅριον^{ngnp} αὐτός^{rpgmp}. **9. v.1** καί^{c} ἐμβαίνω^{vpaanms} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} διαπεράω^{viaa3s} καί^{c} ἔρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} ἴδιος^{aafsn} πόλις^{nafs}. **v.2** καί^{c} ἰδού^{vdaa2s} προσφέρω^{viia3p} αὐτός^{rpdms} παραλυτικός^{aamsn} ἐπί^{p} κλίνη^{ngfs} βάλλω^{vpxpams} καί^{c} ὁράω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafs} πίστις^{nafs} αὐτός^{rpgmp} λέγω^{viaa3s} ὁ^{ddms} παραλυτικός^{admsn} θαρσέω^{vdpa2s} τέκνον^{nvns} ἀφίημι^{vixp3p} σύ$^{rpd-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} σύ$^{rpg-s}$. **v.3** καί^{c} ἰδού^{vdaa2s} τι-σρινμπ ὁ^{dgmp} γραμματεύς^{ngmp} λέγω^{viaa3p} ἐν^{p} ἑαυτοῦ^{rxdmp} οὗτος^{rdnms} βλασφημέω^{vipa3s}. **v.4** καί^{c} ὁράω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafp} ἐνθύμησις^{nafp} αὐτός^{rpgmp} λέγω^{viaa3s} ἵνα^{c} τίς^{rqans} σύ$^{rpn-p}$ ἐνθυμέομαι^{vipn2p} πονηρός^{aanpn} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} σύ$^{rpg-p}$. **v.5** τίς^{rqnns} γάρ^{c} εἰμί^{vipx3s} εὔκοπος^{annsc} λέγω^{vnaa} ἀφίημι^{vixp3p} σύ$^{rpg-s}$ ὁ^{dnfp} ἁμαρτία^{nnfp} ἤ^{xo} λέγω^{vnaa} ἐγείρω^{vdam2s} καί^{c} περιπατέω^{vdpa2s}. **v.6** ἵνα^{c} δέ^{c} οἶδα^{vsxa2p} ὅτι^{c} ἐξουσία^{nafs} ἔχω^{vipa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἀφίημι^{vnpa} ἁμαρτία^{nafp} τότε^{bo} λέγω^{vipa3s} ὁ^{ddms} παραλυτικός^{admsn} ἐγείρω^{vpapnms} αἴρω^{vdaa2s} σύ$^{rpg-s}$ ὁ^{dafs} κλίνη^{nafs} καί^{c} ὑπάγω^{vdpa2s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} σύ$^{rpg-s}$. **v.7** καί^{c} ἐγείρω^{vpapnms} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgms}. **v.8** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} ὄχλος^{nnmp} θαυμάζω^{viaa3p} καί^{c} δοξάζω^{viaa3p} ὁ^{dams} θεός^{nams} ὁ^{dams} δίδωμι^{vpaaams} ἐξουσία^{nafs} τοιοῦτος^{rdafs} ὁ^{ddmp} ἄνθρωπος^{ndmp}.

πον καθήμενον ἐπὶ τὸ τελώνιον Ματθαῖον λεγόμενον καὶ
λέγει αὐτῷ Ἀκολούθει μοι καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.
10 Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ καὶ ἰδοὺ πολ-
λοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ
11 καὶ τοῖς μαθηταῖς αὐτοῦ. καὶ ἰδόντες οἱ Φαρισαῖοι εἶπον
τοῖς μαθηταῖς αὐτοῦ Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρ-
12 τωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν. ὁ δὲ Ἰησοῦς ἀκούσας
εἶπεν αὐτοῖς, Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ
13 οἱ κακῶς ἔχοντες. πορευθέντες δὲ μάθετε τί ἐστιν Ἔλεον
θέλω καὶ οὐ θυσίαν, οὐ γὰρ ἦλθον καλέσαι δικαίους ἀλ-
14 λὰ ἁμαρτωλούς εἰς μετάνοιαν. Τότε προσέρχονται αὐτῷ
οἱ μαθηταὶ Ἰωάννου λέγοντες Διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι
15 νηστεύομεν πολλά οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν. καὶ
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος
πενθεῖν ἐφ ὅσον μετ αὐτῶν ἐστιν ὁ νυμφίος ἐλεύσονται δὲ
ἡμέραι ὅταν ἀπαρθῇ ἀπ αὐτῶν ὁ νυμφίος καὶ τότε νηστεύ-
16 σουσιν. οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου
ἐπὶ ἱματίῳ παλαιῷ, αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ
17 ἱματίου καὶ χεῖρον σχίσμα γίνεται. οὐδὲ βάλλουσιν οἶ-
νον νέον εἰς ἀσκοὺς παλαιούς, εἰ δὲ μήγε, ῥήγνυνται οἱ

---

v.9 καί[c] παράγω[vppanms] ὁ[dnms] Ἰησοῦς[nnms] ἐκεῖθεν[bo] ὁράω[viaa3s] ἄνθρωπος[nams] κάθημαι[vppnams] ἐπί[p] ὁ[dans] τελώνιον[nans] Ματθαῖος[nams] λέγω[vpppams] καί[c] λέγω[vipa3s] αὐτός[rpdms] ἀκολουθέω[vdpa2s] ἐγώ[rpd-s] καί[c] ἀνίστημι[vpaanms] ἀκολουθέω[viaa3s] αὐτός[rpdms]. **v.10** καί[c] γίνομαι[viad3s] αὐτός[rpgms] ἀνάκειμαι[vppngms] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] καί[c] ἰδού[vdaa2s] πολύς[anmpn] τελώνης[nnmp] καί[c] ἁμαρτωλός[anmpn] ἔρχομαι[vpaanmp] συνανάκειμαι[viin3p] ὁ[ddms] Ἰησοῦς[ndms] καί[c] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms]. **v.11** καί[c] ὁράω[vpaanmp] ὁ[dnmp] Φαρισαῖος[nnmp] λέγω[viaa3p] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] διά[p] τίς[rqans] μετά[p] ὁ[dgmp] τελώνης[ngmp] καί[c] ἁμαρτωλός[agmpn] ἐσθίω[vipa3s] ὁ[dnms] διδάσκαλος[nnms] σύ[rpg-p]. **v.12** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἀκούω[vpaanms] λέγω[viaa3s] αὐτός[rpdmp] οὐ[xo] χρεία[nafs] ἔχω[vipa3p] ὁ[dnmp] ἰσχύω[vppanmp] ἰατρός[ngms] ἀλλά[c] ὁ[dnmp] κακῶς[bo] ἔχω[vppanmp]. **v.13** πορεύομαι[vpaonmp] δέ[c] μανθάνω[vdaa2p] τίς[rqnns] εἰμί[vipx3s] ἔλεος[nams] θέλω[vipa1s] καί[c] οὐ[xo] θυσία[nafs] οὐ[xo] γάρ[c] ἔρχομαι[viaa1s] καλέω[vnaa] δίκαιος[aampn] ἀλλά[c] ἁμαρτωλός[aampn] εἰς[p] μετάνοια[nafs]. **v.14** τότε[bo] προσέρχομαι[vipn3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] Ἰωάννης[ngms] λέγω[vppanmp] διά[p] τίς[rqans] ἐγώ[rpn-p] καί[c] ὁ[dnmp] Φαρισαῖος[nnmp] νηστεύω[vipa1p] πολύς[aanpn] ὁ[dnmp] δέ[c] μαθητής[nnmp] σύ[rpg-s] οὐ[xo] νηστεύω[vipa3p]. **v.15** καί[c] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] μή[xo] δύναμαι[vipn3p] ὁ[dnmp] υἱός[nnmp] ὁ[dgms] νυμφών[ngms] πενθέω[vnpa] ἐπί[p] ὅσος[rcans] μετά[p] αὐτός[rpgmp] εἰμί[vipx3s] ὁ[dnms] νυμφίος[nnms] ἔρχομαι[vifd3p] δέ[c] ἡμέρα[nnfp] ὅταν[c] ἀπαίρω[vsap3s] ἀπό[p] αὐτός[rpgmp] ὁ[dnms] νυμφίος[nnms] καί[c] τότε[bo] νηστεύω[vifa3p]. **v.16** οὐδείς[anfsn] δέ[c] ἐπιβάλλω[vipa3s] ἐπίβλημα[nans] ῥάκος[ngns] ἄγναφος[agnsn] ἐπί[p] ἱμάτιον[ndns] παλαιός[adnsn] αἴρω[vipa3s] γάρ[c] ὁ[dnns] πλήρωμα[nnns] αὐτός[rpgns] ἀπό[p] ὁ[dgns] ἱμάτιον[ngns] καί[c] χείρων[annsn] σχίσμα[nnns] γίνομαι[vipn3s].

ἀσκοί καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται, ἀλλὰ
βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινούς καὶ ἀμφότεροι
συντηροῦνται. Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς ἰδοὺ ἄρχων 18
εἷς ἐλθὼν προσεκύνει αὐτῷ λέγων ὅτι Ἡ θυγάτηρ μου ἄρτι
ἐτελεύτησεν, ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ αὐτήν καὶ
ζήσεται. καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ 19
μαθηταὶ αὐτοῦ. Καὶ ἰδοὺ γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη 20
προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου
αὐτοῦ, ἔλεγεν γὰρ ἐν ἑαυτῇ Ἐὰν μόνον ἅψωμαι τοῦ ἱμα- 21
τίου αὐτοῦ σωθήσομαι. ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν 22
αὐτὴν εἶπεν Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέν σε καὶ
ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. Καὶ ἐλθὼν ὁ Ἰη- 23
σοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τοὺς αὐλητὰς
καὶ τὸν ὄχλον θορυβούμενον. λέγει αὐτοῖς, Ἀναχωρεῖτε 24
οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ καθεύδει καὶ κατεγέ-
λων αὐτοῦ. ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος εἰσελθὼν ἐκράτησεν 25
τῆς χειρὸς αὐτῆς καὶ ἠγέρθη τὸ κοράσιον. καὶ ἐξῆλθεν ἡ 26
φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην. Καὶ παράγοντι ἐ- 27
κεῖθεν τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες

---

v.17 οὐδὲ^{bo} βάλλω^{vipa3p} οἶνος^{nams} νέος^{aamsn} εἰς^{p} ἀσκός^{namp} παλαιός^{aampn} εἰ^{qo} δέ^{c} μή^{xo} ῥήγνυμι^{vipp3p} ὁ^{dnmp} ἀσκός^{nnmp} καί^{c} ὁ^{dnms} οἶνος^{nnms} ἐκχέω^{vipp3s} καί^{c} ὁ^{dnmp} ἀσκός^{nnmp} ἀπόλλυμι^{vifm3p} ἀλλά^{c} βάλλω^{vipa3p} οἶνος^{nams} νέος^{aamsn} εἰς^{p} ἀσκός^{namp} καινός^{aampn} καί^{c} ἀμφότεροι^{anmpn} συντηρέω^{vipp3p}. **v.18** οὗτος^{rdanp} αὐτός^{rpgms} λαλέω^{vppagms} αὐτός^{rpdmp} ἰδού^{vdaa2s} ἄρχων^{nnms} εἷς^{nnms} ἔρχομαι^{vpaanms} προσκυνέω^{viia3s} αὐτός^{rpdms} λέγω^{vppanms} ὅτι^{c} ὁ^{dnfs} θυγάτηρ^{nnfs} ἐγώ$^{rpg-s}$ ἄρτι^{bo} τελευτάω^{viaa3s} ἀλλά^{c} ἔρχομαι^{vpaanms} ἐπιτίθημι^{vdaa2s} ὁ^{dafs} χείρ^{nafs} σύ$^{rpg-s}$ ἐπί^{p} αὐτός^{rpafs} καί^{c} ζάω^{vifd3s}. **v.19** καί^{c} ἐγείρω^{vpapnms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀκολουθέω^{viaa3s} αὐτός^{rpdms} καί^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.20** καί^{c} ἰδού^{vdaa2s} γυνή^{nnfs} αἱμορροέω^{vppanfs} δώδεκα^{tn} ἔτος^{nnnp} προσέρχομαι^{vpaanfs} ὄπισθεν^{bo} ἅπτω^{viad3s} ὁ^{dgns} κράσπεδον^{ngns} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms}. **v.21** λέγω^{viia3s} γάρ^{c} ἐν^{p} ἑαυτοῦ^{rxdfs} ἐάν^{qo} μόνος^{bo} ἅπτω^{vsam1s} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms} σῴζω^{vifp1s}. **v.22** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ἐπιστρέφω^{vpapnms} καί^{c} ὁράω^{vpaanms} αὐτός^{rpafs} λέγω^{viaa3s} θαρσέω^{vdpa2s} θυγάτηρ^{nvfs} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-s}$ σῴζω^{vixa3s} σύ$^{rpa-s}$ καί^{c} σῴζω^{viap3s} ὁ^{dnfs} γυνή^{nnfs} ἀπό^{p} ὁ^{dgfs} ὥρα^{ngfs} ἐκεῖνος^{rdgfs}. **v.23** καί^{c} ἔρχομαι^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} ὁ^{dgms} ἄρχων^{ngms} καί^{c} ὁράω^{vpaanms} ὁ^{damp} αὐλητής^{namp} καί^{c} ὁ^{dams} ὄχλος^{nams} θορυβέω^{vpppams}. **v.24** λέγω^{vipa3s} αὐτός^{rpdmp} ἀναχωρέω^{vdpa2p} οὐ^{xo} γάρ^{c} ἀποθνῄσκω^{viaa3s} ὁ^{dnns} κοράσιον^{nnns} ἀλλά^{c} καθεύδω^{vipa3s} καί^{c} καταγελάω^{viia3p} αὐτός^{rpgms}. **v.25** ὅτε^{bo} δέ^{c} ἐκβάλλω^{viap3s} ὁ^{dnms} ὄχλος^{nnms} εἰσέρχομαι^{vpaanms} κρατέω^{viaa3s} ὁ^{dgfs} χείρ^{ngfs} αὐτός^{rpgfs} καί^{c} ἐγείρω^{viap3s} ὁ^{dnns} κοράσιον^{nnns}. **v.26** καί^{c} ἐξέρχομαι^{viaa3s} ὁ^{dnfs} φήμη^{nnfs} οὗτος^{rdnfs} εἰς^{p} ὅλος^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἐκεῖνος^{rdafs}.

28 καὶ λέγοντες Ἐλέησον ἡμᾶς υἱὲ Δαυίδ. ἐλθόντι δὲ εἰς τὴν
οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί καὶ λέγει αὐτοῖς ὁ Ἰη-
σοῦς Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι λέγουσιν αὐτῷ
29 Ναί κύριε. τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων Κατὰ
30 τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ
ὀφθαλμοί καὶ ἐνεβριμησατο αὐτοῖς ὁ Ἰησοῦς λέγων Ὁρᾶτε
31 μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν
32 ὅλῃ τῇ γῇ ἐκείνῃ. Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγ-
33 καν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον. καὶ ἐκβλη-
θέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός καὶ ἐθαύμασαν οἱ
34 ὄχλοι λέγοντες Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. οἱ
δὲ Φαρισαῖοι ἔλεγον Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλ-
35 λει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας
καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κη-
ρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν
36 νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Ἰδὼν δὲ τοὺς ὄ-
χλους ἐσπλαγχνίσθη περὶ αὐτῶν ὅτι ἦσαν ἐσκυλμένοι καὶ
37 ἐρριμμένοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. τότε λέγει
τοῖς μαθηταῖς αὐτοῦ Ὁ μὲν θερισμὸς πολύς οἱ δὲ ἐργά-
38 ται ὀλίγοι, δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως

---

v.27 καί^{c} παράγω^{vppadms} ἐκεῖθεν^{bo} ὁ^{ddms} Ἰησοῦς^{ndms} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdms} δύο^{tn} τυφλός^{anmpn} κράζω^{vppanmp} καί^{c} λέγω^{vppanmp} ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-p}$ υἱός^{nvms} Δαυίδ^{tp}. **v.28** ἔρχομαι^{vpaadms} δέ^{c} εἰς^{p} ὁ^{dafs} οἰκία^{nafs} προσέρχομαι^{viaa3p} αὐτός^{rpdms} ὁ^{dnmp} τυφλός^{anmpn} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} πιστεύω^{vdpa2p} ὅτι^{c} δύναμαι^{vipn1s} οὗτος^{rdans} ποιέω^{vnaa} λέγω^{vipa3p} αὐτός^{rpdms} ναί^{xo} κύριος^{nvms}. **v.29** τότε^{bo} ἅπτω^{viad3s} ὁ^{dgmp} ὀφθαλμός^{ngmp} αὐτός^{rpgmp} λέγω^{vppanms} κατά^{p} ὁ^{dafs} πίστις^{nafs} σύ$^{rpg-p}$ γίνομαι^{vdao3s} σύ$^{rpd-p}$. **v.30** καί^{c} ἀνοίγω^{viap3p} αὐτός^{rpgmp} ὁ^{dnmp} ὀφθαλμός^{nnmp} καί^{c} ἐμβριμάομαι^{viad3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{vppanms} ὁράω^{vdpa2p} μηδείς^{anmsn} γινώσκω^{vdpa3s}. **v.31** ὁ^{dnmp} δέ^{c} ἐξέρχομαι^{vpaanmp} διαφημίζω^{viaa3p} αὐτός^{rpams} ἐν^{p} ὅλος^{adfsn} ὁ^{ddfs} γῆ^{ndfs} ἐκεῖνος^{rddfs}. **v.32** αὐτός^{rpgmp} δέ^{c} ἐξέρχομαι^{vppngmp} ἰδού^{vdaa2s} προσφέρω^{viaa3p} αὐτός^{rpdms} ἄνθρωπος^{nams} κωφός^{aamsn} δαιμονίζομαι^{vppnams}. **v.33** καί^{c} ἐκβάλλω^{vpapgns} ὁ^{dgns} δαιμόνιον^{ngns} λαλέω^{viaa3s} ὁ^{dnms} κωφός^{anmsn} καί^{c} θαυμάζω^{viaa3p} ὁ^{dnmp} ὄχλος^{nnmp} λέγω^{vppanmp} οὐδέποτε^{bo} φαίνω^{viap3s} οὕτω^{bo} ἐν^{p} ὁ^{ddms} Ἰσραήλ^{tp}. **v.34** ὁ^{dnmp} δέ^{c} Φαρισαῖος^{nnmp} λέγω^{viia3p} ἐν^{p} ὁ^{ddms} ἄρχων^{ndms} ὁ^{dgnp} δαιμόνιον^{ngnp} ἐκβάλλω^{vipa3s} ὁ^{danp} δαιμόνιον^{nanp}. **v.35** καί^{c} περιάγω^{viia3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafp} πόλις^{nafp} πᾶς^{aafpn} καί^{c} ὁ^{dafp} κώμη^{nafp} διδάσκω^{vppanms} ἐν^{p} ὁ^{ddfp} συναγωγή^{ndfp} αὐτός^{rpgmp} καί^{c} κηρύσσω^{vppanms} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgfs} βασιλεία^{ngfs} καί^{c} θεραπεύω^{vppanms} πᾶς^{aafsn} νόσος^{nafs} καί^{c} πᾶς^{aafsn} μαλακία^{nafs} ἐν^{p} ὁ^{ddms} λαός^{ndms}. **v.36** ὁράω^{vpaanms} δέ^{c} ὁ^{damp} ὄχλος^{namp} σπλαγχνίζομαι^{viao3s} περί^{p} αὐτός^{rpgmp} ὅτι^{c} εἰμί^{viix3p} σκύλλω^{vpxpnmp} καί^{c} ῥίπτω^{vpxpnmp} ὡσεί^{bo} πρόβατον^{nanp} μή^{xo} ἔχω^{vppannp} ποιμήν^{nams}. **v.37** τότε^{bo} λέγω^{vipa3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} ὁ^{dnms} μέν^{xo} θερισμός^{nnms} πολύς^{anmsn} ὁ^{dnmp} δέ^{c} ἐργάτης^{nnmp} ὀλίγος^{anmpn}.

ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

10 Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδω-
κεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν
αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.
Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα, πρῶτος 2
Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ
Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ.
Φίλιππος καὶ Βαρθολομαῖος Θωμᾶς καὶ Ματθαῖος ὁ τε- 3
λώνης Ἰάκωβος ὁ τοῦ Ἁλφαίου καὶ Λεββαῖος ὁ ἐπικληθεὶς
Θαδδαῖος. Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας Ἰσκαριώτης ὁ 4
καὶ παραδοὺς αὐτόν. Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ 5
Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλ-
θητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε 6
δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.
πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι Ἤγγικεν ἡ βασι- 7
λεία τῶν οὐρανῶν. ἀσθενοῦντας θεραπεύετε λεπροὺς κα- 8
θαρίζετε δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε δωρεὰν δότε.
Μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰς 9
ζώνας ὑμῶν. μὴ πήραν εἰς ὁδὸν μηδὲ δύο χιτῶνας μηδὲ 10
ὑποδήματα μηδὲ ῥάβδους ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς

---

v.38 δέομαι^{vdao2p} οὖν^{c} ὁ^{dgms} κύριος^{ngms} ὁ^{dgms} θερισμός^{ngms} ὅπως^{bo} ἐκβάλλω^{vsaa3s} ἐργάτης^{namp} εἰς^{p} ὁ^{dams} θερισμός^{nams} αὐτός^{rpgms}. **10. v.1** καί^{c} προσκαλέομαι^{vpadnms} ὁ^{damp} δώδεκα^{tn} μαθητής^{namp} αὐτός^{rpgms} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} ἐξουσία^{nafs} πνεῦμα^{ngnp} ἀκάθαρτος^{agnpn} ὥστε^{c} ἐκβάλλω^{vnpa} αὐτός^{rpanp} καί^{c} θεραπεύω^{vnpa} πᾶς^{aafsn} νόσος^{nafs} καί^{c} πᾶς^{aafsn} μαλακία^{nafs}. **v.2** ὁ^{dgmp} δέ^{c} δώδεκα^{tn} ἀπόστολος^{ngmp} ὁ^{dnnp} ὄνομα^{nnnp} εἰμί^{vipx3s} οὗτος^{rdnnp} πρῶτος^{anmsn} Σίμων^{nnms} ὁ^{dnms} λέγω^{vpppnms} Πέτρος^{nnms} καί^{c} Ἀνδρέας^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} αὐτός^{rpgms} Ἰάκωβος^{nnms} ὁ^{dnms} ὁ^{dgms} Ζεβεδαῖος^{ngms} καί^{c} Ἰωάννης^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} αὐτός^{rpgms}. **v.3** Φίλιππος^{nnms} καί^{c} Βαρθολομαῖος^{nnms} Θωμᾶς^{nnms} καί^{c} Ματθαῖος^{nnms} ὁ^{dnms} τελώνης^{nnms} Ἰάκωβος^{nnms} ὁ^{dnms} ὁ^{dgms} Ἁλφαῖος^{ngms} καί^{c} Λεββαῖος^{nnms} ὁ^{dnms} ἐπικαλέω^{vpapnms} Θαδδαῖος^{nnms}. **v.4** Σίμων^{nnms} ὁ^{dnms} Κανανίτης^{nnms} καί^{c} Ἰούδας^{nnms} Ἰσκαριώθ^{nnms} ὁ^{dnms} καί^{c} παραδίδωμι^{vpaanms} αὐτός^{rpams}. **v.5** οὗτος^{rdamp} ὁ^{damp} δώδεκα^{tn} ἀποστέλλω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} παραγγέλλω^{vpaanms} αὐτός^{rpdmp} λέγω^{vppanms} εἰς^{p} ὁδός^{nafs} ἔθνος^{ngnp} μή^{xo} ἀπέρχομαι^{vsaa2p} καί^{c} εἰς^{p} πόλις^{nafs} Σαμαρίτης^{ngmp} μή^{xo} εἰσέρχομαι^{vsaa2p}. **v.6** πορεύομαι^{vdpn2p} δέ^{c} μᾶλλον^{bo} πρός^{p} ὁ^{danp} πρόβατον^{nanp} ὁ^{danp} ἀπόλλυμι^{vpxaanp} οἶκος^{ngms} Ἰσραήλ^{tp}. **v.7** πορεύομαι^{vppnnmp} δέ^{c} κηρύσσω^{vdpa2p} λέγω^{vppanmp} ὅτι^{c} ἐγγίζω^{vixa3s} ὁ^{dnfs} βασιλεία^{nnfs} ὁ^{dgmp} οὐρανός^{ngmp}. **v.8** ἀσθενέω^{vppaamp} θεραπεύω^{vdpa2p} λεπρός^{aampn} καθαρίζω^{vdpa2p} δαιμόνιον^{nanp} ἐκβάλλω^{vdpa2p} δωρεάν^{bo} λαμβάνω^{viaa2p} δωρεάν^{bo} δίδωμι^{vdaa2p}. **v.9** μή^{xo} κτάομαι^{vsad2p} χρυσός^{nams} μηδέ^{c} ἄργυρος^{nams} μηδέ^{c} χαλκός^{nams} εἰς^{p} ὁ^{dafp} ζώνη^{nafp} σύ$^{rpg-p}$.

11 αὐτοῦ ἐστιν. εἰς ἣν δ ἂν πόλιν ἢ κώμην εἰσέλθητε ἐξετά-
σατε τίς ἐν αὐτῇ ἄξιός ἐστιν, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε.
12, 13 εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν, καὶ ἐὰν
μὲν ᾖ ἡ οἰκία ἀξία ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ αὐτήν ἐὰν δὲ
14 μὴ ᾖ ἀξία ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. καὶ ὃς
ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν ἐξ-
ερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης ἐκτινάξατε τὸν
15 κονιορτὸν τῶν ποδῶν ὑμῶν. ἀμὴν λέγω ὑμῖν ἀνεκτότερον
ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ
16 πόλει ἐκείνῃ. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν
μέσῳ λύκων, γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέ-
17 ραιοι ὡς αἱ περιστεραί. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων,
παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγω-
18 γαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς, καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ
βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς καὶ
19 τοῖς ἔθνεσιν. ὅταν δὲ παραδιδῶσιν ὑμᾶς μὴ μεριμνήσητε
πῶς ἢ τί λαλήσητε, δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥ-
ἐν τῷ λαῷ. Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ 6

---

v.41 τότε^{bo} λέγω^{vifa3s} καί^{c} ὁ^{ddnp} ἐκ^{p} εὐώνυμος^{agmpn} πορεύομαι^{vdpn2p} ἀπό^{p} ἐγώ$^{rpg-s}$ ὁ^{dnmp} καταράομαι^{vpxpnmp} εἰς^{p} ὁ^{dans} πῦρ^{nans} ὁ^{dans} αἰώνιος^{aansn} ὁ^{dans} ἑτοιμάζω^{vpxpans} ὁ^{ddms} διάβολος^{admsn} καί^{c} ὁ^{ddmp} ἄγγελος^{ndmp} αὐτός^{rpgms}. **v.42** πεινάω^{viaa1s} γάρ^{c} καί^{c} οὐ^{xo} δίδωμι^{viaa2p} ἐγώ$^{rpd-s}$ ἐσθίω^{vnaa} διψάω^{viaa1s} καί^{c} οὐ^{xo} ποτίζω^{viaa2p} ἐγώ$^{rpa-s}$. **v.43** ξένος^{anmsn} εἰμί^{viix1s} καί^{c} οὐ^{xo} συνάγω^{viaa2p} ἐγώ$^{rpa-s}$ γυμνός^{anmsn} καί^{c} οὐ^{xo} περιβάλλω^{viaa2p} ἐγώ$^{rpa-s}$ ἀσθενής^{anmsn} καί^{c} ἐν^{p} φυλακή^{ndfs} καί^{c} οὐ^{xo} ἐπισκέπτομαι^{viad2p} ἐγώ$^{rpa-s}$. **v.44** τότε^{bo} ἀποκρίνομαι^{vifo3p} καί^{c} αὐτός^{rpnmp} λέγω^{vppanmp} κύριος^{nvms} πότε^{xo} σύ$^{rpa-s}$ ὁράω^{viaa1p} πεινάω^{vppaams} ἤ^{xo} διψάω^{vppaams} ἤ^{xo} ξένος^{aamsn} ἤ^{xo} γυμνός^{aamsn} ἤ^{xo} ἀσθενής^{aamsn} ἤ^{xo} ἐν^{p} φυλακή^{ndfs} καί^{c} οὐ^{xo} διακονέω^{viaa1p} σύ$^{rpd-s}$. **v.45** τότε^{bo} ἀποκρίνομαι^{vifo3s} αὐτός^{rpdmp} λέγω^{vppanms} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἐπί^{p} ὅσος^{rcans} οὐ^{xo} ποιέω^{viaa2p} εἷς^{ndms} οὗτος^{rdgmp} ὁ^{dgmp} ἐλάχιστος^{agmpn} οὐδέ^{bo} ἐγώ$^{rpd-s}$ ποιέω^{viaa2p}. **v.46** καί^{c} ἀπέρχομαι^{vifd3p} οὗτος^{rdnmp} εἰς^{p} κόλασις^{nafs} αἰώνιος^{aafsn} ὁ^{dnmp} δέ^{c} δίκαιος^{anmpn} εἰς^{p} ζωή^{nafs} αἰώνιος^{aafsn}. **26. v.1** καί^{c} γίνομαι^{viad3s} ὅτε^{bo} τελέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} πᾶς^{aampn} ὁ^{damp} λόγος^{namp} οὗτος^{rdamp} λέγω^{viaa3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms}. **v.2** οἶδα^{vixa2p} ὅτι^{c} μετά^{p} δύο^{tn} ἡμέρα^{nafp} ὁ^{dnns} πάσχα^{ta} γίνομαι^{vipn3s} καί^{c} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} παραδίδωμι^{vipp3s} εἰς^{p} ὁ^{dans} σταυρόω^{vnap}. **v.3** τότε^{bo} συνάγω^{viap3p} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} γραμματεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} ὁ^{dgms} λαός^{ngms} εἰς^{p} ὁ^{dafs} αὐλή^{nafs} ὁ^{dgms} ἀρχιερεύς^{ngms} ὁ^{dgms} λέγω^{vpppgms} Καϊάφας^{ngms}. **v.4** καί^{c} συμβουλεύω^{viam3p} ἵνα^{c} ὁ^{dams} Ἰησοῦς^{nams} δόλος^{ndms} κρατέω^{vsaa3p} καί^{c} ἀποκτείνω^{vspa3p}. **v.5** λέγω^{viia3p} δέ^{c} μή^{xo} ἐν^{p} ὁ^{ddfs} ἑορτή^{ndfs} ἵνα^{c} μή^{xo} θόρυβος^{nnms} γίνομαι^{vsad3s} ἐν^{p} ὁ^{ddms} λαός^{ndms}.

7 Σίμωνος τοῦ λεπροῦ. προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον
μύρου ἔχουσα βαρυτίμου καὶ κατέχεεν ἐπὶ τῆν κεφαλὴν
8 αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγα-
9 νάκτησαν λέγοντες Εἰς τί ἡ ἀπώλεια αὕτη. ἠδύνατο γὰρ
τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι [τοῖσ] πτω-
10 χοῖς. γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς Τί κόπους παρέχετε
11 τῇ γυναικί ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ, πάντοτε
γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ ἑαυτῶν ἐμὲ δὲ οὐ πάντοτε ἔ-
12 χετε, βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός
13 μου πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. ἀμὴν λέγω ὑμῖν
ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ
λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.
14 Τότε πορευθεὶς εἷς τῶν δώδεκα ὁ λεγόμενος Ἰούδας Ἰσκα-
15 ριώτης πρὸς τοὺς ἀρχιερεῖς. εἶπεν Τί θέλετέ μοι δοῦναι
κἀγὼ ὑμῖν παραδώσω αὐτόν οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα
16 ἀργύρια. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παρα-
17 δῷ. Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ
Ἰησοῦ λέγοντες αὐτῷ Ποῦ θέλεις ἑτοιμάσομεν σοι φαγεῖν τὸ
18 πάσχα. ὁ δὲ εἶπεν Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα
καὶ εἴπατε αὐτῷ Ὁ διδάσκαλος λέγει Ὁ καιρός μου ἐγγύς

---

v.6 ὁ^{dgms} δέ^{c} Ἰησοῦς^{ngms} γίνομαι^{vpadgms} ἐν^{p} Βηθανία^{ndfs} ἐν^{p} οἰκία^{ndfs} Σίμων^{ngms} ὁ^{dgms} λεπρός^{agmsn}. **v.7** προσέρχομαι^{viaa3s} αὐτός^{rpdms} γυνή^{nnfs} ἀλάβαστρος^{nans} μύρον^{ngns} ἔχω^{vppanfs} βαρύτιμος^{agnsn} καί^{c} καταχέω^{viaa3s} ἐπί^{p} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms} ἀνάκειμαι^{vppngms}. **v.8** ὁράω^{vpaanmp} δέ^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ἀγανακτέω^{viaa3p} λέγω^{vppanmp} εἰς^{p} τίς^{rqans} ὁ^{dnfs} ἀπώλεια^{nnfs} οὗτος^{rdnfs}. **v.9** δύναμαι^{viin3s} γάρ^{c} οὗτος^{rdnns} ὁ^{dnns} μύρον^{nnns} πιπράσκω^{vnap} πολύς^{agnsn} καί^{c} δίδωμι^{vnap} ὁ^{ddmp} πτωχός^{admpn}. **v.10** γινώσκω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqans} κόπος^{namp} παρέχω^{vipa2p} ὁ^{ddfs} γυνή^{ndfs} ἔργον^{nans} γάρ^{c} καλός^{aansn} ἐργάζομαι^{viad3s} εἰς^{p} ἐγώ$^{rpa-s}$. **v.11** πάντοτε^{bo} γάρ^{c} ὁ^{damp} πτωχός^{aampn} ἔχω^{vipa2p} μετά^{p} ἑαυτοῦ^{rxgmp} ἐγώ$^{rpa-s}$ δέ^{c} οὐ^{xo} πάντοτε^{bo} ἔχω^{vipa2p}. **v.12** βάλλω^{vpaanfs} γάρ^{c} οὗτος^{rdnfs} ὁ^{dans} μύρον^{nans} οὗτος^{rdans} ἐπί^{p} ὁ^{dgns} σῶμα^{ngns} ἐγώ$^{rpg-s}$ πρός^{p} ὁ^{dans} ἐνταφιάζω^{vnaa} ἐγώ$^{rpa-s}$ ποιέω^{viaa3s}. **v.13** ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅπου^{bo} ἐάν^{qo} κηρύσσω^{vsap3s} ὁ^{dnns} εὐαγγέλιον^{nnns} οὗτος^{rdnns} ἐν^{p} ὅλος^{admsn} ὁ^{ddms} κόσμος^{ndms} λαλέω^{vifp3s} καί^{c} ὅς^{rrans} ποιέω^{viaa3s} οὗτος^{rpnfs} εἰς^{p} μνημόσυνον^{nans} αὐτός^{rpgfs}. **v.14** τότε^{bo} πορεύομαι^{vpaonms} εἷς^{nnms} ὁ^{dgmp} δώδεκα^{tn} ὁ^{dnms} λέγω^{vpppnms} Ἰούδας^{nnms} Ἰσκαριώθ^{nnms} πρός^{p} ὁ^{damp} ἀρχιερεύς^{namp}. **v.15** λέγω^{viaa3s} τίς^{rqans} θέλω^{vipa2p} ἐγώ$^{rpd-s}$ δίδωμι^{vnaa} κἀγώ$^{rpn-s}$ σύ$^{rpd-p}$ παραδίδωμι^{vifa1s} αὐτός^{rpams} ὁ^{dnmp} δέ^{c} ἵστημι^{viaa3p} αὐτός^{rpdms} τριάκοντα^{tn} ἀργύριον^{nanp}. **v.16** καί^{c} ἀπό^{p} τότε^{bo} ζητέω^{viia3s} εὐκαιρία^{nafs} ἵνα^{c} αὐτός^{rpams} παραδίδωμι^{vsaa3s}. **v.17** ὁ^{ddfs} δέ^{c} πρῶτος^{adfsn} ὁ^{dgnp} ἄζυμος^{agnpn} προσέρχομαι^{viaa3p} ὁ^{dnmp} μαθητής^{nnmp} ὁ^{ddms} Ἰησοῦς^{ndms} λέγω^{vppanmp} αὐτός^{rpdms} ποῦ^{xo} θέλω^{vipa2s} ἑτοιμάζω^{vifa1p} σύ$^{rpd-s}$ ἐσθίω^{vnaa} ὁ^{dans} πάσχα^{ta}.

ἐστιν πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. καὶ 19
ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς καὶ ἡ-
τοίμασαν τὸ πάσχα. Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ 20
τῶν δώδεκα. καὶ ἐσθιόντων αὐτῶν εἶπεν Ἀμὴν λέγω ὑμῖν 21
ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ λυπούμενοι σφόδρα 22
ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν, Μήτι ἐγώ εἰμι κύριε.
ὁ δὲ ἀποκριθεὶς εἶπεν Ὁ ἐμβάψας μετ ἐμοῦ ἐν τῷ τρυβλίῳ 23
τὴν χεῖρα οὗτός με παραδώσει. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου 24
ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ οὐαὶ δὲ τῷ ἀνθρώπῳ
ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, καλὸν ἦν
αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. ἀποκριθεὶς δὲ 25
Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπεν Μήτι ἐγώ εἰμι ῥαββί λέγει
αὐτῷ Σὺ εἶπας. Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν 26
ἄρτον καὶ εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς
καὶ εἶπεν Λάβετε φάγετε τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ 27
λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων
Πίετε ἐξ αὐτοῦ πάντες. τοῦτο γάρ ἐστιν τὸ αἷμά μου τὸ τῆς 28
καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν
ἁμαρτιῶν. λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ ἄρτι ἐκ τούτου 29

---

v.18 ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} ὑπάγω^{vdpa2p} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} πρός^{p} ὁ^{dams} δεῖνα^{aamsn} καί^{c} λέγω^{vdaa2p} αὐτός^{rpdms} ὁ^{dnms} διδάσκαλος^{nnms} λέγω^{vipa3s} ὁ^{dnms} καιρός^{nnms} ἐγώ$^{rpg-s}$ ἐγγύς^{bo} εἰμί^{vipx3s} πρός^{p} σύ$^{rpa-s}$ ποιέω^{vipa1s} ὁ^{dans} πάσχα^{ta} μετά^{p} ὁ^{dgmp} μαθητής^{ngmp} ἐγώ$^{rpg-s}$. **v.19** καί^{c} ποιέω^{viaa3p} ὁ^{dnmp} μαθητής^{nnmp} ὡς^{bo} συντάσσω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} ἑτοιμάζω^{viaa3p} ὁ^{dans} πάσχα^{ta}. **v.20** ὄψιος^{agfsn} δέ^{c} γίνομαι^{vpadgfs} ἀνάκειμαι^{viin3s} μετά^{p} ὁ^{dgmp} δώδεκα^{tn}. **v.21** καί^{c} ἐσθίω^{vppagmp} αὐτός^{rpgmp} λέγω^{viaa3s} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} εἷς^{nnms} ἐκ^{p} σύ$^{rpg-p}$ παραδίδωμι^{vifa3s} ἐγώ$^{rpa-s}$. **v.22** καί^{c} λυπέω^{vpppnmp} σφόδρα^{bo} ἄρχω^{viad3p} λέγω^{vnpa} αὐτός^{rpdms} ἕκαστος^{anmsn} αὐτός^{rpgmp} μήτι^{xo} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} κύριος^{nvms}. **v.23** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} ὁ^{dnms} ἐμβάπτω^{vpaanms} μετά^{p} ἐγώ$^{rpg-s}$ ἐν^{p} ὁ^{ddns} τρύβλιον^{ndns} ὁ^{dafs} χείρ^{nafs} οὗτος^{rdnms} ἐγώ$^{rpa-s}$ παραδίδωμι^{vifa3s}. **v.24** ὁ^{dnms} μέν^{xo} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ὑπάγω^{vipa3s} καθώς^{bo} γράφω^{vixp3s} περί^{p} αὐτός^{rpgms} οὐαί^{i} δέ^{c} ὁ^{ddms} ἄνθρωπος^{ndms} ἐκεῖνος^{rddms} διά^{p} ὅς^{rrgms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} παραδίδωμι^{vipp3s} καλός^{annsn} εἰμί^{viix3s} αὐτός^{rpdms} εἰ^{qo} οὐ^{xo} γεννάω^{viap3s} ὁ^{dnms} ἄνθρωπος^{nnms} ἐκεῖνος^{rdnms}. **v.25** ἀποκρίνομαι^{vpaonms} δέ^{c} Ἰούδας^{nnms} ὁ^{dnms} παραδίδωμι^{vppanms} αὐτός^{rpams} λέγω^{viaa3s} μήτι^{xo} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} ῥαββίth λέγω^{vipa3s} αὐτός^{rpdms} σύ$^{rpn-s}$ λέγω^{viaa2s}. **v.26** ἐσθίω^{vppagmp} δέ^{c} αὐτός^{rpgmp} λαμβάνω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dams} ἄρτος^{nams} καί^{c} εὐχαριστέω^{vpaanms} κλάω^{viaa3s} καί^{c} δίδωμι^{viia3s} ὁ^{ddmp} μαθητής^{ndmp} καί^{c} λέγω^{viaa3s} λαμβάνω^{vdaa2p} ἐσθίω^{vdaa2p} οὗτος^{rdnns} εἰμί^{vipx3s} ὁ^{dnns} σῶμα^{nnns} ἐγώ$^{rpg-s}$. **v.27** καί^{c} λαμβάνω^{vpaanms} ὁ^{dans} ποτήριον^{nans} καί^{c} εὐχαριστέω^{vpaanms} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} λέγω^{vppanms} πίνω^{vdaa2p} ἐκ^{p} αὐτός^{rpgns} πᾶς^{anmpn}. **v.28** οὗτος^{rdnns} γάρ^{c} εἰμί^{vipx3s} ὁ^{dnns} αἷμα^{nnns} ἐγώ$^{rpg-s}$ ὁ^{dnns} ὁ^{dgfs} καινός^{agfsn} διαθήκη^{ngfs} ὁ^{dnns} περί^{p} πολύς^{agmpn} ἐκχέω^{vpppnns} εἰς^{p} ἄφεσις^{nafs} ἁμαρτία^{ngfp}.

τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν
αὐτὸ πίνω μεθ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.
30, 31 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. Τότε
λέγει αὐτοῖς ὁ Ἰησοῦς Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν
ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ γέγραπται γάρ Πατάξω τὸν ποιμένα
32 καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ
33 τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἀποκρι-
θεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ Εἰ πάντες σκανδαλισθήσονται
34 ἐν σοί ἐγὼ [δὲ] οὐδέποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ
Ἰησοῦς Ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα
35 φωνῆσαι τρὶς ἀπαρνήσῃ με. λέγει αὐτῷ ὁ Πέτρος Κἂν δέῃ
με σὺν σοὶ ἀποθανεῖν οὐ μή σε ἀπαρνήσωμαι ὁμοίως δέ
36 καὶ πάντες οἱ μαθηταὶ εἶπον. Τότε ἔρχεται μετ αὐτῶν ὁ
Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς
μαθηταῖς Καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι
37 ἐκεῖ. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβε-
38 δαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. τότε λέγει αὐτοῖς
ὁ Ἰησοῦς Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, μεί-
39 νατε ὧδε καὶ γρηγορεῖτε μετ ἐμοῦ. καὶ προσελθὼν μικρὸν
ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων Πά-
τερ μου εἰ δυνατόν ἐστιν παρελθέτω ἀπ ἐμοῦ τὸ ποτήριον

---

v.29 λέγω^{vipa1s} δέ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} οὐ^{xo} μή^{xo} πίνω^{vsaa1s} ἀπό^{p} ἄρτι^{bo} ἐκ^{p} οὗτος^{rdgns} ὁ^{dgns} γέννημα^{ngns} ὁ^{dgfs} ἄμπελος^{ngfs} ἕως^{c} ὁ^{dgfs} ἡμέρα^{ngfs} ἐκεῖνος^{rdgfs} ὅταν^{c} αὐτός^{rpans} πίνω^{vspa1s} μετά^{p} σύ$^{rpg-p}$ καινός^{aansn} ἐν^{p} ὁ^{ddfs} βασιλεία^{ndfs} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$. **v.30** καί^{c} ὑμνέω^{vpaanmp} ἐξέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} ὁ^{dgfp} ἐλαία^{ngfp}. **v.31** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} πᾶς^{anmpn} σύ$^{rpn-p}$ σκανδαλίζω^{vifp2p} ἐν^{p} ἐγώ$^{rpd-s}$ ἐν^{p} ὁ^{ddfs} νύξ^{ndfs} οὗτος^{rddfs} γράφω^{vixp3s} γάρ^{c} πατάσσω^{vifa1s} ὁ^{dams} ποιμήν^{nams} καί^{c} διασκορπίζω^{vifp3s} ὁ^{dnnp} πρόβατον^{nnnp} ὁ^{dgfs} ποίμνη^{ngfs}. **v.32** μετά^{p} δέ^{c} ὁ^{dans} ἐγείρω^{vnap} ἐγώ$^{rpa-s}$ προάγω^{vifa1s} σύ$^{rpa-p}$ εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs}. **v.33** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} Πέτρος^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} εἰ^{qo} πᾶς^{anmpn} σκανδαλίζω^{vifp3p} ἐν^{p} σύ$^{rpd-s}$ ἐγώ$^{rpn-s}$ δέ^{c} οὐδέποτε^{bo} σκανδαλίζω^{vifp1s}. **v.34** φημί^{viix3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-s}$ ὅτι^{c} ἐν^{p} οὗτος^{rddfs} ὁ^{ddfs} νύξ^{ndfs} πρίν^{bo} ἀλέκτωρ^{nams} φωνέω^{vnaa} τρίς^{bo} ἀπαρνέομαι^{vifd2s} ἐγώ$^{rpa-s}$. **v.35** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Πέτρος^{nnms} κἄν^{qo} δεῖ^{vspq3s} ἐγώ$^{rpa-s}$ σύν^{p} σύ$^{rpd-s}$ ἀποθνήσκω^{vnaa} οὐ^{xo} μή^{xo} σύ$^{rpa-s}$ ἀπαρνέομαι^{vsad1s} ὁμοίως^{bo} δέ^{c} καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} μαθητής^{nnmp} λέγω^{viaa3p}. **v.36** τότε^{bo} ἔρχομαι^{vipn3s} μετά^{p} αὐτός^{rpgmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} χωρίον^{nans} λέγω^{vpppans} Γεθσημανί^{tp} καί^{c} λέγω^{vipa3s} ὁ^{ddmp} μαθητής^{ndmp} καθίζω^{vdaa2p} αὐτοῦ^{bo} ἕως^{c} ὅς^{bo} ἀπέρχομαι^{vpaanms} προσεύχομαι^{vsad1s} ἐκεῖ^{bo}. **v.37** καί^{c} παραλαμβάνω^{vpaanms} ὁ^{dams} Πέτρος^{nams} καί^{c} ὁ^{damp} δύο^{tn} υἱός^{namp} Ζεβεδαῖος^{ngms} ἄρχω^{viad3s} λυπέω^{vnpp} καί^{c} ἀδημονέω^{vnpa}. **v.38** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} περίλυπος^{anfsn} εἰμί^{vipx3s} ὁ^{dnfs} ψυχή^{nnfs} ἐγώ$^{rpg-s}$ ἕως^{c} θάνατος^{ngms} μένω^{vdaa2p} ὧδε^{bo} καί^{c} γρηγορέω^{vdpa2p} μετά^{p} ἐγώ$^{rpg-s}$.

τοῦτο, πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ ὡς σύ. καὶ ἔρχεται πρὸς 40
τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας καὶ λέγει
τῷ Πέτρῳ Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ
ἐμοῦ. γρηγορεῖτε καὶ προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς 41
πειρασμόν, τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενής.
πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων Πάτερ μου 42
εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀ᾽π ἐμοῦ, ἐὰν
μὴ αὐτὸ πίω γενηθήτω τὸ θέλημά σου. καὶ ἐλθὼν εὑρίσκει 43
αὐτοὺς πάλιν καθεύδοντας ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ
βεβαρημένοι. καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν πάλιν προσηύ- 44
ξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών. τότε ἔρχεται πρὸς 45
τοὺς μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς Καθεύδετε τὸ λοι-
πὸν καὶ ἀναπαύεσθε, ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγείρεσθε 46
ἄγωμεν, ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. Καὶ ἔτι αὐτοῦ λα- 47
λοῦντος ἰδοὺ ᾽Ιούδας εἷς τῶν δώδεκα ἦλθεν καὶ μετ αὐτοῦ
ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων
καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔ- 48
δωκεν αὐτοῖς σημεῖον λέγων Ὃν ἂν φιλήσω αὐτός ἐστιν

---

v.39 καί[c] προσέρχομαι[vpaanms] μικρός[aamsn] πίπτω[viaa3s] ἐπί[p] πρόσωπον[nans] αὐτός[rpgms] προσεύχομαι[vppnnms] καί[c] λέγω[vppanms] πατήρ[nvms] ἐγώ[rpg-s] εἰ[qo] δυνατός[annsn] εἰμί[vipx3s] παρέρχομαι[vdaa3s] ἀπό[p] ἐγώ[rpg-s] ὁ[dans] ποτήριον[nans] οὗτος[rdans] πλήν[bo] οὐ[xo] ὡς[bo] ἐγώ[rpn-s] θέλω[vipa1s] ἀλλά[c] ὡς[bo] σύ[rpn-s]. **v.40** καί[c] ἔρχομαι[vipn3s] πρός[p] ὁ[damp] μαθητής[namp] καί[c] εὑρίσκω[vipa3s] αὐτός[rpamp] καθεύδω[vppaamp] καί[c] λέγω[vipa3s] ὁ[ddms] Πέτρος[ndms] οὕτω[bo] οὐ[xo] ἰσχύω[viaa2p] εἷς[nafs] ὥρα[nafs] γρηγορέω[vnaa] μετά[p] ἐγώ[rpg-s]. **v.41** γρηγορέω[vdpa2p] καί[c] προσεύχομαι[vdpn2p] ἵνα[c] μή[xo] εἰσέρχομαι[vsaa2p] εἰς[p] πειρασμός[nams] ὁ[dnns] μέν[xo] πνεῦμα[nnns] πρόθυμος[annsn] ὁ[dnfs] δέ[c] σάρξ[nnfs] ἀσθενής[anfsn]. **v.42** πάλιν[bo] ἐκ[p] δεύτερος[agnsn] ἀπέρχομαι[vpaanms] προσεύχομαι[viad3s] λέγω[vppanms] πατήρ[nvms] ἐγώ[rpg-s] εἰ[qo] οὐ[xo] δύναμαι[vipn3s] οὗτος[rdnns] ὁ[dnns] ποτήριον[nnns] παρέρχομαι[vnaa] ἀπό[p] ἐγώ[rpg-s] ἐάν[qo] μή[xo] αὐτός[rpans] πίνω[vsaa1s] γίνομαι[vdao3s] ὁ[dnns] θέλημα[nnns] σύ[rpg-s]. **v.43** καί[c] ἔρχομαι[vpaanms] εὑρίσκω[vipa3s] αὐτός[rpamp] πάλιν[bo] καθεύδω[vppaamp] εἰμί[viix3p] γάρ[c] αὐτός[rpgmp] ὁ[dnmp] ὀφθαλμός[nnmp] βαρέω[vpxpnmp]. **v.44** καί[c] ἀφίημι[vpaanms] αὐτός[rpamp] ἀπέρχομαι[vpaanms] πάλιν[bo] προσεύχομαι[viad3s] ἐκ[p] τρίτος[agnsn] ὁ[dams] αὐτός[rpams] λόγος[nams] λέγω[vpaanms]. **v.45** τότε[bo] ἔρχομαι[vipn3s] πρός[p] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] καί[c] λέγω[vipa3s] αὐτός[rpdmp] καθεύδω[vdpa2p] ὁ[dans] λοιπός[aansn] καί[c] ἀναπαύω[vdpm2p] ἰδού[vdaa2s] ἐγγίζω[vixa3s] ὁ[dnfs] ὥρα[nnfs] καί[c] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] ἄνθρωπος[ngms] παραδίδωμι[vipp3s] εἰς[p] χείρ[nafp] ἁμαρτωλός[agmpn]. **v.46** ἐγείρω[vdpe2p] ἄγω[vspa1p] ἰδού[vdaa2s] ἐγγίζω[vixa3s] ὁ[dnms] παραδίδωμι[vppanms] ἐγώ[rpa-s]. **v.47** καί[c] ἔτι[bo] αὐτός[rpgms] λαλέω[vppagms] ἰδού[vdaa2s] ᾽Ιούδας[nnms] εἷς[nnms] ὁ[dgmp] δώδεκα[tn] ἔρχομαι[viaa3s] καί[c] μετά[p] αὐτός[rpgms] ὄχλος[nnms] πολύς[anmsn] μετά[p] μάχαιρα[ngfp] καί[c] ξύλον[ngnp] ἀπό[p] ὁ[dgmp] ἀρχιερεύς[ngmp] καί[c] πρεσβύτερος[agmpn] ὁ[dgms] λαός[ngms].

49 κρατήσατε αὐτόν. καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν
50 Χαῖρε ῥαββί καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν
αὐτῷ Ἑταῖρε ἐφ ᾧ πάρει τότε προσελθόντες ἐπέβαλον τὰς
51 χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. καὶ ἰδοὺ εἷς
τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μάχαι-
ραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν
52 αὐτοῦ τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς Ἀπόστρεψον
σου τὴν μάχαιράν εἰς τὸν τόπον αὐτῆς, πάντες γὰρ οἱ λα-
53 βόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται. ἢ δοκεῖς ὅτι
οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου καὶ παρα-
54 στήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων. πῶς οὖν
55 πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι. Ἐν ἐκείνῃ
τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε
μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με καθ ἡμέραν πρὸς
ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ καὶ οὐκ ἐκρατήσατέ
56 με. τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν
προφητῶν Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.
57 Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν
τὸν ἀρχιερέα ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συν-
58 ήχθησαν. ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως

---

v.48 ὁ^{dnms} δέ^{c} παραδίδωμι^{vppanms} αὐτός^{rpams} δίδωμι^{viaa3s} αὐτός^{rpdmp} σημεῖον^{nans} λέγω^{vppanms} ὅς^{rrams} ἄν^{xo} φιλέω^{vsaa1s} αὐτός^{rpnms} εἰμί^{vipx3s} κρατέω^{vdaa2p} αὐτός^{rpams}. **v.49** καί^{c} εὐθέως^{bo} προσέρχομαι^{vpaanms} ὁ^{ddms} Ἰησοῦς^{ndms} λέγω^{viaa3s} χαίρω^{vdpa2s} ῥαββίth καί^{c} καταφιλέω^{viaa3s} αὐτός^{rpams}. **v.50** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} ἑταῖρος^{nvms} ἐπί^{p} ὅς^{rrdns} πάρειμι^{vipx2s} τότε^{bo} προσέρχομαι^{vpaanmp} ἐπιβάλλω^{viaa3p} ὁ^{dafp} χείρ^{nafp} ἐπί^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} κρατέω^{viaa3p} αὐτός^{rpams}. **v.51** καί^{c} ἰδού^{vdaa2s} εἷς^{nnms} ὁ^{dgmp} μετά^{p} Ἰησοῦς^{ngms} ἐκτείνω^{vpaanfs} ὁ^{dafs} χείρ^{nafs} ἀποσπάω^{viaa3s} ὁ^{dafs} μάχαιρα^{nafs} αὐτός^{rpgms} καί^{c} πατάσσω^{vpaanms} ὁ^{dams} δοῦλος^{nams} ὁ^{dgms} ἀρχιερεύς^{ngms} ἀφαιρέω^{viaa3s} αὐτός^{rpgms} ὁ^{dans} ὠτίον^{nans}. **v.52** τότε^{bo} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀποστρέφω^{vdaa2s} σύ$^{rpg-s}$ ὁ^{dafs} μάχαιρα^{nafs} εἰς^{p} ὁ^{dams} τόπος^{nams} αὐτός^{rpgfs} πᾶς^{anmpn} γάρ^{c} ὁ^{dnmp} λαμβάνω^{vpaanmp} μάχαιρα^{nafs} ἐν^{p} μάχαιρα^{ndfs} ἀποθνῄσκω^{vifd3p}. **v.53** ἤ^{xo} δοκέω^{vipa2s} ὅτι^{c} οὐ^{xo} δύναμαι^{vipn1s} ἄρτι^{bo} παρακαλέω^{vnaa} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg-s}$ καί^{c} παρίστημι^{vifa3s} ἐγώ$^{rpd-s}$ πολύς^{aafpc} ἤ^{xo} δώδεκα^{tn} λεγιών^{namp} ἄγγελος^{ngmp}. **v.54** πῶς^{bo} οὖν^{c} πληρόω^{vsap3p} ὁ^{dnfp} γραφή^{nnfp} ὅτι^{c} οὕτω^{bo} δεῖ^{vipq3s} γίνομαι^{vnad}. **v.55** ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ὥρα^{ndfs} λέγω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{ddmp} ὄχλος^{ndmp} ὡς^{bo} ἐπί^{p} λῃστής^{nams} ἐξέρχομαι^{viaa2p} μετά^{p} μάχαιρα^{ngfp} καί^{c} ξύλον^{ngnp} συλλαμβάνω^{vnaa} ἐγώ$^{rpa-s}$ κατά^{p} ἡμέρα^{nafs} πρός^{p} σύ$^{rpa-p}$ καθέζομαι^{viin1s} διδάσκω^{vppanms} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} καί^{c} οὐ^{xo} κρατέω^{viaa2p} ἐγώ$^{rpa-s}$. **v.56** οὗτος^{rdnns} δέ^{c} ὅλος^{annsn} γίνομαι^{vixa3s} ἵνα^{c} πληρόω^{vsap3p} ὁ^{dnfp} γραφή^{nnfp} ὁ^{dgmp} προφήτης^{ngmp} τότε^{bo} ὁ^{dnmp} μαθητής^{nnmp} πᾶς^{anmpn} ἀφίημι^{vpaanmp} αὐτός^{rpams} φεύγω^{viaa3p}. **v.57** ὁ^{dnmp} δέ^{c} κρατέω^{vpaanmp} ὁ^{dams} Ἰησοῦς^{nams} ἀπάγω^{viaa3p} πρός^{p} Καϊάφας^{nams} ὁ^{dams} ἀρχιερεύς^{nams} ὅπου^{bo} ὁ^{dnmp} γραμματεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} συνάγω^{viap3p}.

τῆς αὐλῆς τοῦ ἀρχιερέως καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ
τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρε- 59
σβύτεροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν
κατὰ τοῦ Ἰησοῦ ὅπως θανατώσωσιν αὐτόν. καὶ οὐχ εὗρον 60
καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων οὐχ εὗρον, ὕ- 61
στερον δὲ προσελθόντες δύο ψευδομάρτυρες εἶπον, Οὗτος
ἔφη Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡ-
μερῶν οἰκοδομῆσαι αὐτόν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν 62
αὐτῷ Οὐδὲν ἀποκρίνῃ τί οὗτοί σου καταμαρτυροῦσιν. ὁ 63
δὲ Ἰησοῦς ἐσιώπα καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ
Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ
σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει αὐτῷ ὁ Ἰησοῦς Σὺ 64
εἶπας, πλὴν λέγω ὑμῖν ἀπ ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώ-
που καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ
τῶν νεφελῶν τοῦ οὐρανοῦ. τότε ὁ ἀρχιερεὺς διέρρηξεν τὰ 65
ἱμάτια αὐτοῦ λέγων ὅτι Ἐβλασφήμησεν, τί ἔτι χρείαν ἔχο-
μεν μαρτύρων ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν, αὐτοῦ,
τί ὑμῖν δοκεῖ οἱ δὲ ἀποκριθέντες εἶπον, Ἔνοχος θανάτου 66
ἐστίν. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολά- 67

---

v.58 ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} ἀκολουθέω^{viia3s} αὐτός^{rpdms} ἀπό^{p} μακρόθεν^{bo} ἕως^{c} ὁ^{dgfs} αὐλή^{ngfs} ὁ^{dgms} ἀρχιερεύς^{ngms} καί^{c} εἰσέρχομαι^{vpaanms} ἔσω^{bo} κάθημαι^{viin3s} μετά^{p} ὁ^{dgmp} ὑπηρέτης^{ngmp} ὁράω^{vnaa} ὁ^{dans} τέλος^{nans}. **v.59** ὁ^{dnmp} δέ^{c} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} καί^{c} ὁ^{dnns} συνέδριον^{nnns} ὅλος^{annsn} ζητέω^{viia3p} ψευδομαρτυρία^{nafs} κατά^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ὅπως^{bo} θανατόω^{vsaa3p} αὐτός^{rpams}. **v.60** καί^{c} οὐ^{xo} εὑρίσκω^{viaa3p} καί^{c} πολύς^{agmpn} ψευδόμαρτυς^{ngmp} προσέρχομαι^{vpaagmp} οὐ^{xo} εὑρίσκω^{viaa3p}. **v.61** ὕστερος^{bo} δέ^{c} προσέρχομαι^{vpaanmp} δύο^{tn} ψευδόμαρτυς^{nnmp} λέγω^{viaa3p} οὗτος^{rdnms} φημί^{viix3s} δύναμαι^{vipn1s} καταλύω^{vnaa} ὁ^{dams} ναός^{nams} ὁ^{dgms} θεός^{ngms} καί^{c} διά^{p} τρεῖς^{ngfp} ἡμέρα^{ngfp} οἰκοδομέω^{vnaa} αὐτός^{rpams}. **v.62** καί^{c} ἀνίστημι^{vpaanms} ὁ^{dnms} ἀρχιερεύς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} οὐδείς^{aansn} ἀποκρίνομαι^{vipn2s} τίς^{rqans} οὗτος^{rdnmp} σύ$^{rpg-s}$ καταμαρτυρέω^{vipa3p}. **v.63** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} σιωπάω^{viia3s} καί^{c} ἀποκρίνομαι^{vpaonms} ὁ^{dnms} ἀρχιερεύς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdms} ἐξορκίζω^{vipa1s} σύ$^{rpa-s}$ κατά^{p} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ζάω^{vppagms} ἵνα^{c} ἐγώ$^{rpd-p}$ λέγω^{vsaa2s} εἰ^{qo} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms}. **v.64** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} σύ$^{rpn-s}$ λέγω^{viaa2s} πλήν^{bo} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἀπό^{p} ἄρτι^{bo} ὁράω^{vifd2p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} κάθημαι^{vppnams} ἐκ^{p} δεξιός^{agmpn} ὁ^{dgfs} δύναμις^{ngfs} καί^{c} ἔρχομαι^{vppnams} ἐπί^{p} ὁ^{dgfp} νεφέλη^{ngfp} ὁ^{dgms} οὐρανός^{ngms}. **v.65** τότε^{bo} ὁ^{dnms} ἀρχιερεύς^{nnms} διαρρήγνυμι^{viaa3s} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} λέγω^{vppanms} ὅτι^{c} βλασφημέω^{viaa3s} τίς^{rqans} ἔτι^{bo} χρεία^{nafs} ἔχω^{vipa1p} μάρτυς^{ngmp} ἴδε^{i} νῦν^{bo} ἀκούω^{viaa2p} ὁ^{dafs} βλασφημία^{nafs} αὐτός^{rpgms}. **v.66** τίς^{rqans} σύ$^{rpd-p}$ δοκέω^{vipa3s} ὁ^{dnmp} δέ^{c} ἀποκρίνομαι^{vpaonmp} λέγω^{viaa3p} ἔνοχος^{anmsn} θάνατος^{ngms} εἰμί^{vipx3s}.

68 φισαν αὐτόν οἱ δὲ ἐρράπισαν, λέγοντες Προφήτευσον ἡμῖν
69 Χριστέ τίς ἐστιν ὁ παίσας σε. Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο
ἐν τῇ αὐλῇ, καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα
70 Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. ὁ δὲ ἠρνήσατο
71 ἔμπροσθεν αὐτῶν πάντων λέγων Οὐκ οἶδα τί λέγεις. ἐξελ-
θόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει
72 αὐτοῖς ἐκεῖ καὶ Οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. καὶ
πάλιν ἠρνήσατο μεθ ὅρκου ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον.
73 μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ
Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε
74 ποιεῖ. τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ
75 οἶδα τὸν ἄνθρωπον καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. καὶ
ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ εἰρηκότος αὐτῷ
ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με, καὶ ἐξελθὼν
ἔξω ἔκλαυσεν πικρῶς.

27 Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρ-
χιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε
2 θανατῶσαι αὐτόν, καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ πα-
3 ρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰ-
ούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη μεταμεληθεὶς ἀ-

---

v.67 τότε^{bo} ἐμπτύω^{viaa3p} εἰς^{p} ὁ^{dans} πρόσωπον^{nans} αὐτός^{rpgms} καί^{c} κολαφίζω^{viaa3p} αὐτός^{rpams} ὁ^{dnmp} δέ^{c} ῥαπίζω^{viaa3p}. **v.68** λέγω^{vppanmp} προφητεύω^{vdaa2s} ἐγώ$^{rpd-p}$ Χριστός^{nvms} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} παίω^{vpaanms} σύ$^{rpa-s}$. **v.69** ὁ^{dnms} δέ^{c} Πέτρος^{nnms} ἔξω^{bo} κάθημαι^{viin3s} ἐν^{p} ὁ^{ddfs} αὐλή^{ndfs} καί^{c} προσέρχομαι^{viaa3s} αὐτός^{rpdms} εἷς^{nnfs} παιδίσκη^{nnfs} λέγω^{vppanfs} καί^{c} σύ$^{rpn-s}$ εἰμί^{viix2s} μετά^{p} Ἰησοῦς^{ngms} ὁ^{dgms} Γαλιλαῖος^{ngms}. **v.70** ὁ^{dnms} δέ^{c} ἀρνέομαι^{viad3s} ἔμπροσθεν^{p} αὐτός^{rpgmp} πᾶς^{agmpn} λέγω^{vppanms} οὐ^{xo} οἶδα^{vixa1s} τίς^{rqans} λέγω^{vipa2s}. **v.71** ἐξέρχομαι^{vpaaams} δέ^{c} αὐτός^{rpams} εἰς^{p} ὁ^{dams} πυλών^{nams} ὁράω^{viaa3s} αὐτός^{rpams} ἄλλος^{anfsn} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ἐκεῖ^{bo} καί^{c} οὗτος^{rdnms} εἰμί^{viix3s} μετά^{p} Ἰησοῦς^{ngms} ὁ^{dgms} Ναζωραῖος^{ngms}. **v.72** καί^{c} πάλιν^{bo} ἀρνέομαι^{viad3s} μετά^{p} ὅρκος^{ngms} ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa1s} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.73** μετά^{p} μικρός^{aansn} δέ^{c} προσέρχομαι^{vpaanmp} ὁ^{dnmp} ἵστημι^{vpxanmp} λέγω^{viaa3p} ὁ^{ddms} Πέτρος^{ndms} ἀληθῶς^{bo} καί^{c} σύ$^{rpn-s}$ ἐκ^{p} αὐτός^{rpgmp} εἰμί^{vipx2s} καί^{c} γάρ^{c} ὁ^{dnfs} λαλιά^{nnfs} σύ$^{rpg-s}$ δῆλος^{aamsn} σύ$^{rpa-s}$ ποιέω^{vipa3s}. **v.74** τότε^{bo} ἄρχω^{viad3s} καταθεματίζω^{vnpa} καί^{c} ὀμνύω^{vnpa} ὅτι^{c} οὐ^{xo} οἶδα^{vixa1s} ὁ^{dams} ἄνθρωπος^{nams} καί^{c} εὐθέως^{bo} ἀλέκτωρ^{nnms} φωνέω^{viaa3s}. **v.75** καί^{c} μιμνήσκομαι^{viap3s} ὁ^{dnms} Πέτρος^{nnms} ὁ^{dgns} ῥῆμα^{ngns} ὁ^{dgms} Ἰησοῦς^{ngms} λέγω^{vpxagns} αὐτός^{rpdms} ὅτι^{c} πρίν^{bo} ἀλέκτωρ^{nams} φωνέω^{vnaa} τρίς^{bo} ἀπαρνέομαι^{vifd2s} ἐγώ$^{rpa-s}$ καί^{c} ἐξέρχομαι^{vpaanms} ἔξω^{bo} κλαίω^{viaa3s} πικρῶς^{bo}. **27. v.1** πρωΐα^{ngfs} δέ^{c} γίνομαι^{vpadgfs} συμβούλιον^{nans} λαμβάνω^{viaa3p} πᾶς^{anmpn} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} ὁ^{dgms} λαός^{ngms} κατά^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ὥστε^{c} θανατόω^{vnaa} αὐτός^{rpams}. **v.2** καί^{c} δέω^{vpaanmp} αὐτός^{rpams} ἀπάγω^{viaa3p} καί^{c} παραδίδωμι^{viaa3p} αὐτός^{rpams} Πόντιος^{ndms} Πιλᾶτος^{ndms} ὁ^{ddms} ἡγεμών^{ndms}.

πέστρεψέν τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ τοῖς
πρεσβυτέροις. λέγων Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον οἱ 4
δὲ εἶπον, Τί πρὸς ἡμᾶς σὺ ὄψει.. καὶ ῥίψας τὰ ἀργύρια ἐν 5
τῷ ναῷ ἀνεχώρησεν καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιε- 6
ρεῖς λαβόντες τὰ ἀργύρια εἶπον, Οὐκ ἔξεστιν βαλεῖν αὐτὰ
εἰς τὸν κορβανᾶν ἐπεὶ τιμὴ αἵματός ἐστιν. συμβούλιον 7
δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν Ἀγρὸν τοῦ Κεραμέως
εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος Ἀγρὸς 8
Αἵματος ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ 9
Ἰερεμίου τοῦ προφήτου λέγοντος Καὶ ἔλαβον τὰ τριάκοντα
ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱ-
ῶν Ἰσραήλ. καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως 10
καθὰ συνέταξέν μοι κύριος. Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν 11
τοῦ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων Σὺ εἶ
ὁ βασιλεὺς τῶν Ἰουδαίων ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ Σὺ λέγεις.
καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν 12
πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. τότε λέγει αὐτῷ ὁ Πι- 13
λᾶτος Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσιν. καὶ οὐκ 14
ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα ὥστε θαυμάζειν τὸν ἡγε-

---

v.3 τότε[bo] ὁράω[vpaanms] Ἰούδας[nnms] ὁ[dnms] παραδίδωμι[vppanms] αὐτός[rpams] ὅτι[c] κατακρίνω[viap3s] μεταμέλομαι[vpaonms] ἀποστρέφω[viaa3s] ὁ[danp] τριάκοντα[tn] ἀργύριον[nanp] ὁ[ddmp] ἀρχιερεύς[ndmp] καί[c] ὁ[ddmp] πρεσβύτερος[admpn]. **v.4** λέγω[vppanms] ἁμαρτάνω[viaa1s] παραδίδωμι[vpaanms] αἷμα[nans] ἀθῷος[aansn] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] τίς[rqnns] πρός[p] ἐγώ[rpa-p] σύ[rpn-s] ὀπτάνομαι[vifd2s]. **v.5** καί[c] ῥίπτω[vpaanms] ὁ[danp] ἀργύριον[nanp] ἐν[p] ὁ[ddms] ναός[ndms] ἀναχωρέω[viaa3s] καί[c] ἀπέρχομαι[vpaanms] ἀπάγχω[viam3s]. **v.6** ὁ[dnmp] δέ[c] ἀρχιερεύς[nnmp] λαμβάνω[vpaanmp] ὁ[danp] ἀργύριον[nanp] λέγω[viaa3p] οὐ[xo] ἔξεστι[vipq3s] βάλλω[vnaa] αὐτός[rpanp] εἰς[p] ὁ[dams] κορβανᾶς[nams] ἐπεί[c] τιμή[nnfs] αἷμα[ngns] εἰμί[vipx3s]. **v.7** συμβούλιον[nans] δέ[c] λαμβάνω[vpaanmp] ἀγοράζω[viaa3p] ἐκ[p] αὐτός[rpgnp] ὁ[dams] ἀγρός[nams] ὁ[dgms] κεραμεύς[ngms] εἰς[p] ταφή[nafs] ὁ[ddmp] ξένος[admpn]. **v.8** διό[c] καλέω[viap3s] ὁ[dnms] ἀγρός[nnms] ἐκεῖνος[rdnms] ἀγρός[nnms] αἷμα[ngns] ἕως[c] ὁ[dgfs] σήμερον[bo]. **v.9** τότε[bo] πληρόω[viap3s] ὁ[dnns] λέγω[vpapnns] διά[p] Ἱερεμίας[ngms] ὁ[dgms] προφήτης[ngms] λέγω[vppagns] καί[c] λαμβάνω[viaa1s] ὁ[danp] τριάκοντα[tn] ἀργύριον[nanp] ὁ[dafs] τιμή[nafs] ὁ[dgms] τιμάω[vpxpgms] ὅς[rrams] τιμάω[viam3p] ἀπό[p] υἱός[ngmp] Ἰσραήλ[tp]. **v.10** καί[c] δίδωμι[viaa3p] αὐτός[rpanp] εἰς[p] ὁ[dams] ἀγρός[nams] ὁ[dgms] κεραμεύς[ngms] καθά[bo] συντάσσω[viaa3s] ἐγώ[rpd-s] κύριος[nnms]. **v.11** ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] ἵστημι[viaa3s] ἔμπροσθεν[p] ὁ[dgms] ἡγεμών[ngms] καί[c] ἐπερωτάω[viaa3s] αὐτός[rpams] ὁ[dnms] ἡγεμών[nnms] λέγω[vppanms] σύ[rpn-s] εἰμί[vipx2s] ὁ[dnms] βασιλεύς[nnms] ὁ[dgmp] Ἰουδαῖος[agmpn] ὁ[dnms] δέ[c] Ἰησοῦς[nnms] φημί[viix3s] αὐτός[rpdms] σύ[rpn-s] λέγω[vipa2s]. **v.12** καί[c] ἐν[p] ὁ[ddms] κατηγορέω[vnpp] αὐτός[rpams] ὑπό[p] ὁ[dgmp] ἀρχιερεύς[ngmp] καί[c] ὁ[dgmp] πρεσβύτερος[agmpn] οὐδείς[aansn] ἀποκρίνομαι[viad3s]. **v.13** τότε[bo] λέγω[vipa3s] αὐτός[rpdms] ὁ[dnms] Πιλᾶτος[nnms] οὐ[xo] ἀκούω[vipa2s] πόσος[roanp] σύ[rpg-s] καταμαρτυρέω[vipa3p].

μόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα
τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον ἐπίση-
μον λεγόμενον Βαραββᾶν. συνηγμένων οὖν αὐτῶν εἶπεν
αὐτοῖς ὁ Πιλᾶτος Τίνα θέλετε ἀπολύσω ὑμῖν Βαραββᾶν ἢ
Ἰησοῦν τὸν λεγόμενον Χριστόν. ᾔδει γὰρ ὅτι διὰ φθόνον
παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος
ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα Μηδὲν σοὶ
καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ ἔπαθον σήμερον κατ ὄναρ
δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς
ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν τὸν δὲ Ἰησοῦν ἀπολέ-
σωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς Τίνα θέλετε
ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν οἱ δὲ εἶπον, Βαραββᾶν. λέ-
γει αὐτοῖς ὁ Πιλᾶτος Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον
Χριστόν λέγουσιν αὐτῷ πάντες Σταυρωθήτω. ὁ δὲ ἡγεμὼν
ἔφη Τί γὰρ κακὸν ἐποίησεν οἱ δὲ περισσῶς ἔκραζον λέγον-
τες Σταυρωθήτω. ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ
μᾶλλον θόρυβος γίνεται λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας
ἀπέναντι τοῦ ὄχλου λέγων Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ
δικαίου τούτου, ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς

---

v.14 καί^{c} οὐ^{xo} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} πρός^{p} οὐδέ^{bo} εἷς^{nans} ῥῆμα^{nans} ὥστε^{c} θαυμάζω^{vnpa} ὁ^{dams} ἡγεμών^{nams} λίαν^{bo}. **v.15** κατά^{p} δέ^{c} ἑορτή^{nafs} εἴωθα^{viya3s} ὁ^{dnms} ἡγεμών^{nnms} ἀπολύω^{vnpa} εἷς^{nams} ὁ^{ddms} ὄχλος^{ndms} δέσμιος^{nams} ὅς^{rrams} θέλω^{viia3p}. **v.16** ἔχω^{viia3p} δέ^{c} τότε^{bo} δέσμιος^{nams} ἐπίσημος^{aamsn} λέγω^{vpppams} Βαραββᾶς^{nams}. **v.17** συνάγω^{vpxpgmp} οὖν^{c} αὐτός^{rpgmp} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Πιλᾶτος^{nnms} τίς^{rqams} θέλω^{vipa2p} ἀπολύω^{vsaa1s} σύ$^{rpd-p}$ Βαραββᾶς^{nams} ἤ^{xo} Ἰησοῦς^{nams} ὁ^{dams} λέγω^{vpppams} Χριστός^{nams}. **v.18** οἶδα^{viya3s} γάρ^{c} ὅτι^{c} διά^{p} φθόνος^{nams} παραδίδωμι^{viaa3p} αὐτός^{rpams}. **v.19** κάθημαι^{vppngms} δέ^{c} αὐτός^{rpgms} ἐπί^{p} ὁ^{dgns} βῆμα^{ngns} ἀποστέλλω^{viaa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnfs} γυνή^{nnfs} αὐτός^{rpgms} λέγω^{vppanfs} μηδείς^{annsn} σύ$^{rpd-s}$ καί^{c} ὁ^{ddms} δίκαιος^{admsn} ἐκεῖνος^{rddms} πολύς^{aanpn} γάρ^{c} πάσχω^{viaa1s} σήμερον^{bo} κατά^{p} ὄναρ^{to} διά^{p} αὐτός^{rpams}. **v.20** ὁ^{dnmp} δέ^{c} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} πρεσβύτερος^{anmpn} πείθω^{viaa3p} ὁ^{damp} ὄχλος^{namp} ἵνα^{c} αἰτέω^{vsam3p} ὁ^{dams} Βαραββᾶς^{nams} ὁ^{dams} δέ^{c} Ἰησοῦς^{nams} ἀπόλλυμι^{vsaa3p}. **v.21** ἀποκρίνομαι^{vpaonms} δέ^{c} ὁ^{dnms} ἡγεμών^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdmp} τίς^{rqams} θέλω^{vipa2p} ἀπό^{p} ὁ^{dgmp} δύο^{tn} ἀπολύω^{vsaa1s} σύ$^{rpd-p}$ ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} Βαραββᾶς^{nams}. **v.22** λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Πιλᾶτος^{nnms} τίς^{rqans} οὖν^{c} ποιέω^{vifa1s} Ἰησοῦς^{nams} ὁ^{dams} λέγω^{vpppams} Χριστός^{nams} λέγω^{vipa3p} αὐτός^{rpdms} πᾶς^{anmpn} σταυρόω^{vdap3s}. **v.23** ὁ^{dnms} δέ^{c} ἡγεμών^{nnms} φημί^{viix3s} τίς^{rqans} γάρ^{c} κακός^{aansn} ποιέω^{viaa3s} ὁ^{dnmp} δέ^{c} περισσῶς^{bo} κράζω^{viia3p} λέγω^{vppanmp} σταυρόω^{vdap3s}. **v.24** ὁράω^{vpaanms} δέ^{c} ὁ^{dnms} Πιλᾶτος^{nnms} ὅτι^{c} οὐδείς^{aansn} ὠφελέω^{vipa3s} ἀλλά^{c} μᾶλλον^{bo} θόρυβος^{nnms} γίνομαι^{vipn3s} λαμβάνω^{vpaanms} ὕδωρ^{nans} ἀπονίζω^{viam3s} ὁ^{dafp} χείρ^{nafp} ἀπέναντι^{bo} ὁ^{dgms} ὄχλος^{ngms} λέγω^{vppanms} ἀθῷος^{anmsn} εἰμί^{vipx1s} ἀπό^{p} ὁ^{dgns} αἷμα^{ngns} ὁ^{dgms} δίκαιος^{agmsn} οὗτος^{rdgms} σύ$^{rpn-p}$ ὁράω^{vifd2p}.

εἶπεν Τὸ αἷμα αὐτοῦ ἐφ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τότε 26
ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν τὸν δὲ Ἰησοῦν φραγελλώσας
παρέδωκεν ἵνα σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμό- 27
νος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον
ἐπ αὐτὸν ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν περιέ- 28
θηκαν αὐτῷ χλαμύδα κοκκίνην. καὶ πλέξαντες στέφανον 29
ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κάλα-
μον ἐπὶ τὴν δεξιὰν αὐτοῦ καὶ γονυπετήσαντες ἔμπροσθεν
αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες Χαῖρε ὁ βασιλεῦς τῶν Ἰου-
δαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ 30
ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ 31
ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια
αὐτοῦ καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμε- 32
νοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα τοῦτον
ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ ἐλθόντες 33
εἰς τόπον λεγόμενον Γολγοθᾶ ὅ ἐστιν λεγόμενος Κρανίου
Τόπος. ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον, 34
καὶ γευσάμενος οὐκ ἤθελεν πιεῖν. σταυρώσαντες δὲ αὐ- 35
τὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον. καὶ 36
καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς 37

---

v.25 καί^{c} ἀποκρίνομαι^{vpaonms} πᾶς^{anmsn} ὁ^{dnms} λαός^{nnms} λέγω^{viaa3s} ὁ^{dnns} αἷμα^{nnns} αὐτός^{rpgms} ἐπί^{p} ἐγώ$^{rpa-p}$ καί^{c} ἐπί^{p} ὁ^{danp} τέκνον^{nanp} ἐγώ$^{rpg-p}$. **v.26** τότε^{bo} ἀπολύω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dams} Βαραββᾶς^{nams} ὁ^{dams} δέ^{c} Ἰησοῦς^{nams} φραγελλόω^{vpaanms} παραδίδωμι^{viaa3s} ἵνα^{c} σταυρόω^{vsap3s}. **v.27** τότε^{bo} ὁ^{dnmp} στρατιώτης^{nnmp} ὁ^{dgms} ἡγεμών^{ngms} παραλαμβάνω^{vpaanmp} ὁ^{dams} Ἰησοῦς^{nams} εἰς^{p} ὁ^{dans} πραιτώριον^{nans} συνάγω^{viaa3p} ἐπί^{p} αὐτός^{rpams} ὅλος^{aafsn} ὁ^{dafs} σπεῖρα^{nafs}. **v.28** καί^{c} ἐκδύω^{vpaanmp} αὐτός^{rpams} περιτίθημι^{viaa3p} αὐτός^{rpdms} χλαμύς^{nafs} κόκκινος^{aafsn}. **v.29** καί^{c} πλέκω^{vpaanmp} στέφανος^{nams} ἐκ^{p} ἄκανθα^{ngfp} ἐπιτίθημι^{viaa3p} ἐπί^{p} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms} καί^{c} κάλαμος^{nams} ἐπί^{p} ὁ^{dafs} δεξιός^{aafsn} αὐτός^{rpgms} καί^{c} γονυπετέω^{vpaanmp} ἔμπροσθεν^{p} αὐτός^{rpgms} ἐμπαίζω^{viia3p} αὐτός^{rpdms} λέγω^{vppanmp} χαίρω^{vdpa2s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.30** καί^{c} ἐμπτύω^{vpaanmp} εἰς^{p} αὐτός^{rpams} λαμβάνω^{viaa3p} ὁ^{dams} κάλαμος^{nams} καί^{c} τύπτω^{viia3p} εἰς^{p} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms}. **v.31** καί^{c} ὅτε^{bo} ἐμπαίζω^{viaa3p} αὐτός^{rpdms} ἐκδύω^{viaa3p} αὐτός^{rpams} ὁ^{dafs} χλαμύς^{nafs} καί^{c} ἐνδύω^{viaa3p} αὐτός^{rpams} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} καί^{c} ἀπάγω^{viaa3p} αὐτός^{rpams} εἰς^{p} ὁ^{dans} σταυρόω^{vnaa}. **v.32** ἐξέρχομαι^{vppnnmp} δέ^{c} εὑρίσκω^{viaa3p} ἄνθρωπος^{nams} Κυρηναῖος^{nams} ὄνομα^{ndns} Σίμων^{nams} οὗτος^{rdams} ἀγγαρεύω^{viaa3p} ἵνα^{c} αἴρω^{vsaa3s} ὁ^{dams} σταυρός^{nams} αὐτός^{rpgms}. **v.33** καί^{c} ἔρχομαι^{vpaanmp} εἰς^{p} τόπος^{nams} λέγω^{vpppams} Γολγοθᾶ^{nafs} ὅς^{rrnns} εἰμί^{vipx3s} λέγω^{vpppnms} κρανίον^{ngns} τόπος^{nnms}. **v.34** δίδωμι^{viaa3p} αὐτός^{rpdms} πίνω^{vnaa} ὄξος^{nans} μετά^{p} χολή^{ngfs} μίγνυμι^{vpxpans} καί^{c} γεύομαι^{vpadnms} οὐ^{xo} θέλω^{viia3s} πίνω^{vnaa}. **v.35** σταυρόω^{vpaanmp} δέ^{c} αὐτός^{rpams} διαμερίζω^{viam3p} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} βάλλω^{vppanmp} κλῆρος^{nams}. **v.36** καί^{c} κάθημαι^{vppnnmp} τηρέω^{viia3p} αὐτός^{rpams} ἐκεῖ^{bo}.

κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην, Οὗτός ἐ-
38 στιν Ἰησοῦς ὁ βασιλεῦς τῶν Ἰουδαίων. Τότε σταυροῦνται
σὺν αὐτῷ δύο λῃσταί εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων.
39 Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς
40 κεφαλὰς αὐτῶν. καὶ λέγοντες Ὁ καταλύων τὸν ναὸν καὶ
ἐν τρισὶν ἡμέραις οἰκοδομῶν σῶσον σεαυτόν εἰ υἱὸς εἶ τοῦ
41 θεοῦ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως δὲ καὶ οἱ ἀρχι-
ερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων
42 καὶ Φαρισαίων ἔλεγον. Ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύνα-
ται σῶσαι, εἰ βασιλεὺς Ἰσραήλ ἐστιν καταβάτω νῦν ἀπὸ τοῦ
43 σταυροῦ καὶ πιστεύσομεν ἐπ αὐτῷ. πέποιθεν ἐπὶ τὸν θε-
όν ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν, εἶπεν γὰρ ὅτι Θεοῦ
44 εἰμι υἱός. τὸ δ αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ
45 ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ
46 πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. περὶ δὲ τὴν ἐνάτην ὥραν
ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων Ηλι ηλι λιμά σα-
βαχθανι τοῦτ ἔστιν Θεέ μου θεέ μου ἵνα τί με ἐγκατέλιπες.
47 τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φω-
48 νεῖ οὗτος. καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν
σπόγγον πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν

---

v.37 καί^{c} ἐπιτίθημι^{viaa3p} ἐπάνω^{bo} ὁ^{dgfs} κεφαλή^{ngfs} αὐτός^{rpgms} ὁ^{dafs} αἰτία^{nafs} αὐτός^{rpgms} γράφω^{vpxpafs} οὗτος^{rdnms} εἰμί^{vipx3s} Ἰησοῦς^{nnms} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.38** τότε^{bo} σταυρόω^{vipp3p} σύν^{p} αὐτός^{rpdms} δύο^{tn} λῃστής^{nnmp} εἷς^{nnms} ἐκ^{p} δεξιός^{agmpn} καί^{c} εἷς^{nnms} ἐκ^{p} εὐώνυμος^{agmpn}. **v.39** ὁ^{dnmp} δέ^{c} παραπορεύομαι^{vppnnmp} βλασφημέω^{viia3p} αὐτός^{rpams} κινέω^{vppanmp} ὁ^{dafp} κεφαλή^{nafp} αὐτός^{rpgmp}. **v.40** καί^{c} λέγω^{vppanmp} ὁ^{dnms} καταλύω^{vppanms} ὁ^{dams} ναός^{nams} καί^{c} ἐν^{p} τρεῖς^{ndfp} ἡμέρα^{ndfp} οἰκοδομέω^{vppanms} σῴζω^{vdaa2s} σεαυτοῦ^{rxams} εἰ^{qo} υἱός^{nnms} εἰμί^{vipx2s} ὁ^{dgms} θεός^{ngms} καταβαίνω^{vdaa2s} ἀπό^{p} ὁ^{dgms} σταυρός^{ngms}. **v.41** ὁμοίως^{bo} δέ^{c} καί^{c} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} ἐμπαίζω^{vppanmp} μετά^{p} ὁ^{dgmp} γραμματεύς^{ngmp} καί^{c} πρεσβύτερος^{agmpn} καί^{c} Φαρισαῖος^{ngmp} λέγω^{viia3p}. **v.42** ἄλλος^{aampn} σῴζω^{viaa3s} ἑαυτοῦ^{rxams} οὐ^{xo} δύναμαι^{vipn3s} σῴζω^{vnaa} εἰ^{qo} βασιλεύς^{nnms} Ἰσραήλ^{tp} εἰμί^{vipx3s} καταβαίνω^{vdaa3s} νῦν^{bo} ἀπό^{p} ὁ^{dgms} σταυρός^{ngms} καί^{c} πιστεύω^{vifa1p} ἐπί^{p} αὐτός^{rpdms}. **v.43** πείθω^{vixa3s} ἐπί^{p} ὁ^{dams} θεός^{nams} ῥύομαι^{vdad3s} νῦν^{bo} αὐτός^{rpams} εἰ^{qo} θέλω^{vipa3s} αὐτός^{rpams} λέγω^{viaa3s} γάρ^{c} ὅτι^{c} θεός^{ngms} εἰμί^{vipx1s} υἱός^{nnms}. **v.44** ὁ^{dans} δέ^{c} αὐτός^{rpans} καί^{c} ὁ^{dnmp} λῃστής^{nnmp} ὁ^{dnmp} συσταυρόω^{vpapnmp} αὐτός^{rpdms} ὀνειδίζω^{viia3p} αὐτός^{rpams}. **v.45** ἀπό^{p} δέ^{c} ἕκτος^{agfsn} ὥρα^{ngfs} σκότος^{nnns} γίνομαι^{viad3s} ἐπί^{p} πᾶς^{aafsn} ὁ^{dafs} γῆ^{nafs} ἕως^{c} ὥρα^{ngfs} ἔνατος^{agfsn}. **v.46** περί^{p} δέ^{c} ὁ^{dafs} ἔνατος^{aafsn} ὥρα^{nafs} ἀναβοάω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{vppanms} ἠλίth ἠλίth λεμα^{ta} σαβαχθάνι^{ta} οὗτος^{rdnns} εἰμί^{vipx3s} θεός^{nvms} ἐγώ$^{rpg-s}$ θεός^{nvms} ἐγώ$^{rpg-s}$ ἵνα^{c} τίς^{rqans} ἐγώ$^{rpa-s}$ ἐγκαταλείπω^{viaa2s}. **v.47** τι-σρινμπ δέ^{c} ὁ^{dgmp} ἐκεῖ^{bo} ἵστημι^{vpxagmp} ἀκούω^{vpaanmp} λέγω^{viia3p} ὅτι^{c} Ἠλίας^{nams} φωνέω^{vipa3s} οὗτος^{rdnms}.

αὐτόν. οἱ δὲ λοιποὶ ἔλεγον Ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας 49
σώσων αὐτόν. ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ 50
ἀφῆκεν τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ 51
ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω καὶ ἡ γῆ ἐσείσθη
καὶ αἱ πέτραι ἐσχίσθησαν. καὶ τὰ μνημεῖα ἀνεῴχθησαν 52
καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ 53
ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλ-
θον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ 54
δὲ ἑκατόνταρχος καὶ οἱ μετ αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν
ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα
λέγοντες Ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ γυναῖ- 55
κες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι αἵτινες ἠκολούθησαν
τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ, ἐν αἷς ἦν 56
Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσὴ
μήτηρ καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. Ὀψίας δὲ γενο- 57
μένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἁριμαθαίας τοὔνομα
Ἰωσήφ ὃς καὶ αὐτὸς ἐμαθήτευσεν τῷ Ἰησοῦ, οὗτος προσ- 58
ελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ τότε ὁ Πιλᾶτος
ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. καὶ λαβὼν τὸ σῶμα ὁ Ἰ- 59

---

v.48 καί^{c} εὐθέως^{bo} τρέχω^{vpaanms} εἷς^{nnms} ἐκ^{p} αὐτός^{rpgmp} καί^{c} λαμβάνω^{vpaanms} σπόγγος^{nams} πίμπλημι^{vpaanms} τέ^{xo} ὄξος^{ngns} καί^{c} περιτίθημι^{vpaanms} κάλαμος^{ndms} ποτίζω^{viia3s} αὐτός^{rpams}.
v.49 ὁ^{dnmp} δέ^{c} λοιπός^{anmpn} λέγω^{viia3p} ἀφίημι^{vdaa2s} ὁράω^{vsaa1p} εἰ^{qo} ἔρχομαι^{vipn3s} Ἠλίας^{nnms} σῴζω^{vpfanms} αὐτός^{rpams}.
v.50 ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} πάλιν^{bo} κράζω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} ἀφίημι^{viaa3s} ὁ^{dans} πνεῦμα^{nans}.
v.51 καί^{c} ἰδού^{vdaa2s} ὁ^{dnns} καταπέτασμα^{nnns} ὁ^{dgms} ναός^{ngms} σχίζω^{viap3s} εἷς^{p} δύο^{tn} ἀπό^{p} ἄνωθεν^{bo} ἕως^{c} κάτω^{bo} καί^{c} ὁ^{dnfs} γῆ^{nnfs} σείω^{viap3s} καί^{c} ὁ^{dnfp} πέτρα^{nnfp} σχίζω^{viap3p}.
v.52 καί^{c} ὁ^{dnnp} μνημεῖον^{nnnp} ἀνοίγω^{viap3p} καί^{c} πολύς^{annpn} σῶμα^{nnnp} ὁ^{dgmp} κοιμάομαι^{vpxpgmp} ἅγιος^{agmpn} ἐγείρω^{viap3s}.
v.53 καί^{c} ἐξέρχομαι^{vpaanmp} ἐκ^{p} ὁ^{dgnp} μνημεῖον^{ngnp} μετά^{p} ὁ^{dafs} ἔγερσις^{nafs} αὐτός^{rpgms} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} ἅγιος^{aafsn} πόλις^{nafs} καί^{c} ἐμφανίζω^{viap3p} πολύς^{admpn}.
v.54 ὁ^{dnms} δέ^{c} ἑκατοντάρχης^{nnms} καί^{c} ὁ^{dnmp} μετά^{p} αὐτός^{rpgms} τηρέω^{vppanmp} ὁ^{dams} Ἰησοῦς^{nams} ὁράω^{vpaanmp} ὁ^{dams} σεισμός^{nams} καί^{c} ὁ^{danp} γίνομαι^{vpadanp} φοβέομαι^{viao3p} σφόδρα^{bo} λέγω^{vppanmp} ἀληθῶς^{bo} θεός^{ngms} υἱός^{nnms} εἰμί^{viix3s} οὗτος^{rdnms}.
v.55 εἰμί^{viix3p} δέ^{c} ἐκεῖ^{bo} γυνή^{nnfp} πολύς^{anfpn} ἀπό^{p} μακρόθεν^{bo} θεωρέω^{vppanfp} ὅστις^{rrnfp} ἀκολουθέω^{viaa3p} ὁ^{ddms} Ἰησοῦς^{ndms} ἀπό^{p} ὁ^{dgfs} Γαλιλαία^{ngfs} διακονέω^{vppanfp} αὐτός^{rpdms}.
v.56 ἐν^{p} ὅς^{rrdfp} εἰμί^{viix3s} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} Μαρία^{nnfs} ὁ^{dnfs} ὁ^{dgms} Ἰάκωβος^{ngms} καί^{c} Ἰωσῆς^{ngms} μήτηρ^{nnfs} καί^{c} ὁ^{dnfs} μήτηρ^{nnfs} ὁ^{dgmp} υἱός^{ngmp} Ζεβεδαῖος^{ngms}.
v.57 ὄψιος^{agfsn} δέ^{c} γίνομαι^{vpadgfs} ἔρχομαι^{viaa3s} ἄνθρωπος^{nnms} πλούσιος^{anmsn} ἀπό^{p} Ἁριμαθαία^{ngfs} ὁ^{bo} Ἰωσήφ^{tp} ὅς^{rrnms} καί^{c} αὐτός^{rpnms} μαθητεύω^{viaa3s} ὁ^{ddms} Ἰησοῦς^{ndms}.
v.58 οὗτος^{rdnms} προσέρχομαι^{vpaanms} ὁ^{ddms} Πιλᾶτος^{ndms} αἰτέω^{viam3s} ὁ^{dans} σῶμα^{nans} ὁ^{dgms} Ἰησοῦς^{ngms} τότε^{bo} ὁ^{dnms} Πιλᾶτος^{nnms} κελεύω^{viaa3s} ἀποδίδωμι^{vnap} ὁ^{dans} σῶμα^{nans}.

60 ωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ. καὶ ἔθηκεν αὐτὸ
ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ καὶ
προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν.
61 ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαριά καθή-
62 μεναι ἀπέναντι τοῦ τάφου. Τῇ δὲ ἐπαύριον ἥτις ἐστὶν μετὰ
τὴν παρασκευήν συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι
63 πρὸς Πιλᾶτον. λέγοντες Κύριε ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ
64 πλάνος εἶπεν ἔτι ζῶν Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέ-
λευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας
μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν
καὶ εἴπωσιν τῷ λαῷ Ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ ἔσται ἡ ἐ-
65 σχάτη πλάνη χείρων τῆς πρώτης. ἔφη δὲ αὐτοῖς ὁ Πιλᾶτος
66 Ἔχετε κουστωδίαν, ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. οἱ
δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν
λίθον μετὰ τῆς κουστωδίας.

28 Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων
ἦλθεν Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαριὰ θεωρῆσαι
2 τὸν τάφον. καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας, ἄγγελος γὰρ
κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν λί-
3 θον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ

---

v.59 καί^{c} λαμβάνω^{vpaanms} ὁ^{dans} σῶμα^{nans} ὁ^{dnms} Ἰωσήφ^{tp} ἐντυλίσσω^{viaa3s} αὐτός^{rpans} σινδών^{ndfs} καθαρός^{adfsn}. **v.60** καί^{c} τίθημι^{viaa3s} αὐτός^{rpans} ἐν^{p} ὁ^{ddfs} πέτρα^{ndfs} καί^{c} προσκυλίω^{vpaanms} λίθος^{nams} μέγας^{aamsn} ὁ^{ddfs} θύρα^{ndfs} ὁ^{dgns} μνημεῖον^{ngns} ἀπέρχομαι^{viaa3s}. **v.61** εἰμί^{viix3s} δέ^{c} ἐκεῖ^{bo} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} ὁ^{dnfs} ἄλλος^{anfsn} Μαρία^{nnfs} κάθημαι^{vppnnfp} ἀπέναντι^{bo} ὁ^{dgms} τάφος^{ngms}. **v.62** ὁ^{ddfs} δέ^{c} ἐπαύριον^{bo} ὅστις^{rrnfs} εἰμί^{vipx3s} μετά^{p} ὁ^{dafs} παρασκευή^{nafs} συνάγω^{viap3p} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} πρός^{p} Πιλᾶτος^{nams}. **v.63** λέγω^{vppanmp} κύριος^{nvms} μιμνῄσκομαι^{viap1p} ὅτι^{c} ἐκεῖνος^{rdnms} ὁ^{dnms} πλάνος^{anmsn} λέγω^{viaa3s} ἔτι^{bo} ζάω^{vppanms} μετά^{p} τρεῖς^{nafp} ἡμέρα^{nafp} ἐγείρω^{vipp1s}. **v.64** κελεύω^{vdaa2s} οὖν^{c} ἀσφαλίζω^{vnap} ὁ^{dams} τάφος^{nams} ἕως^{c} ὁ^{dgfs} τρίτος^{agfsn} ἡμέρα^{ngfs} μήποτε^{bo} ἔρχομαι^{vpaanmp} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} νύξ^{ngfs} κλέπτω^{vsaa3p} αὐτός^{rpams} καί^{c} λέγω^{vsaa3p} ὁ^{ddms} λαός^{ndms} ἐγείρω^{viap3s} ἀπό^{p} ὁ^{dgmp} νεκρός^{agmpn} καί^{c} εἰμί^{vifx3s} ὁ^{dnfs} ἔσχατος^{anfsn} πλάνη^{nnfs} χείρων^{anfsc} ὁ^{dgfs} πρῶτος^{agfsn}. **v.65** φημί^{viix3s} δέ^{c} αὐτός^{rpdmp} ὁ^{dnms} Πιλᾶτος^{nnms} ἔχω^{vipa2p} κουστωδία^{nafs} ὑπάγω^{vdpa2p} ἀσφαλίζω^{vdad2p} ὡς^{bo} οἶδα^{vixa2p}. **v.66** ὁ^{dnmp} δέ^{c} πορεύομαι^{vpaonmp} ἀσφαλίζω^{viad3p} ὁ^{dams} τάφος^{nams} σφραγίζω^{vpaanmp} ὁ^{dams} λίθος^{nams} μετά^{p} ὁ^{dgfs} κουστωδία^{ngfs}. **28. v.1** ὀψέ^{bo} δέ^{c} σάββατον^{ngnp} ὁ^{ddfs} ἐπιφώσκω^{vppadfs} εἰς^{p} εἷς^{nafs} σάββατον^{ngnp} ἔρχομαι^{viaa3s} Μαρία^{nnfs} ὁ^{dnfs} Μαγδαληνή^{nnfs} καί^{c} ὁ^{dnfs} ἄλλος^{anfsn} Μαρία^{nnfs} θεωρέω^{vnaa} ὁ^{dams} τάφος^{nams}. **v.2** καί^{c} ἰδού^{vdaa2s} σεισμός^{nnms} γίνομαι^{viad3s} μέγας^{anmsn} ἄγγελος^{nnms} γάρ^{c} κύριος^{ngms} καταβαίνω^{vpaanms} ἐκ^{p} οὐρανός^{ngms} προσέρχομαι^{vpaanms} ἀποκυλίω^{viaa3s} ὁ^{dams} λίθος^{nams} ἀπό^{p} ὁ^{dgfs} θύρα^{ngfs} καί^{c} κάθημαι^{viin3s} ἐπάνω^{bo} αὐτός^{rpgms}.

ἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ
χιών. ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες 4
καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν 5
ταῖς γυναιξίν Μὴ φοβεῖσθε ὑμεῖς οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν
ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε ἠγέρθη γὰρ καθὼς 6
εἶπεν, δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος. καὶ 7
ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι Ἠγέρθη
ἀπὸ τῶν νεκρῶν καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν
ἐκεῖ αὐτὸν ὄψεσθε, ἰδοὺ εἶπον ὑμῖν. καὶ ἐξελθοῦσαι ταχὺ 8
ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδρα-
μον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπορεύοντο 9
ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ καὶ ἰδοὺ Ἰησοῦς ἀπήντη-
σεν αὐταῖς λέγων Χαίρετε αἱ δὲ προσελθοῦσαι ἐκράτησαν
αὐτοῦ, τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει 10
αὐταῖς ὁ Ἰησοῦς Μὴ φοβεῖσθε, ὑπάγετε ἀπαγγείλατε τοῖς
ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν καί ἐκεῖ με
ὄψονται. Πορευομένων δὲ αὐτῶν ἰδού τινες τῆς κουστω- 11
δίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν
ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ τῶν πρεσβυ- 12
τέρων συμβούλιόν τε λαβόντες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς

---

v.3 εἰμίviix3s δέc ὁdnfs εἰδέαnnfs αὐτόςrpgms ὡςbo ἀστραπήnnfs καίc ὁdnns ἔνδυμαnnns αὐτόςrpgms λευκόςannsn ὡσείbo χιώνnnfs. **v.4** ἀπόp δέc ὁdgms φόβοςngms αὐτόςrpgms σείωviap3p ὁdnmp τηρέωvppanmp καίc γίνομαιviad3p ὡσεί bo νεκρόςanmpn. **v.5** ἀποκρίνομαιvpaonms δέc ὁdnms ἄγγελοςnnms λέγωviaa3s ὁddfp γυνήndfp μήxo φοβέομαιvdpn2p σύrpn-p οἶδαvixa1s γάρc ὅτιc Ἰησοῦςnams ὁdams σταυρόωvpxpams ζητέωvipa2p. **v.6** οὐxo εἰμίvipx3s ὧδεbo ἐγείρωviap3s γάρc καθώςbo λέγωviaa3s δεῦτεvdvx2p ὁράωvdaa2p ὁdams τόποςnams ὅπουbo κεῖμαιviin3s ὁdnms κύριοςnnms. **v.7** καίc ταχύςbo πορεύομαιvpaonfp λέγωvdaa2p ὁddmp μαθητήςndmp αὐτόςrpgms ὅτιc ἐγείρωviap3s ἀπόp ὁdgmp νεκρόςagmpn καίc ἰδούvdaa2s προάγωvipa3s σύrpa-p εἰςp ὁdafs Γαλιλαίαnafs ἐκεῖbo αὐτόςrpams ὁράωvifd2p ἰδούvdaa2s λέγωviaa1s σύrpd-p. **v.8** καίc ἐξέρχομαιvpaanfp ταχύςbo ἀπόp ὁdgns μνημεῖονngns μετάp φόβοςngms καίc χαράngfs μέγαςagfsn τρέχωviaa3p ἀπαγγέλλωvnaa ὁddmp μαθητήςndmp αὐτόςrpgms. **v.9** ὡςbo δέc πορεύομαιviin3p ἀπαγγέλλωvnaa ὁddmp μαθητήςndmp αὐτόςrpgms καίc ἰδούvdaa2s Ἰησοῦςnnms ἀπαντάωviaa3s αὐτόςrpdfp λέγωvppanms χαίρωvdpa2p ὁdnfp δέc προσέρχομαιvpaanfp κρατέωviaa3p αὐτόςrpgms ὁdamp πούςnamp καίc προσκυνέωviaa3p αὐτόςrpdms. **v.10** τότεbo λέγωvipa3s αὐτόςrpdfp ὁdnms Ἰησοῦςnnms μήxo φοβέομαιvdpn2p ὑπάγωvdpa2p ἀπαγγέλλωvdaa2p ὁddmp ἀδελφόςndmp ἐγώrpg-s ἵναc ἀπέρχομαιvsaa3p εἰςp ὁdafs Γαλιλαίαnafs καίc ἐκεῖbo ἐγώrpa-s ὁράωvifd3p. **v.11** πορεύομαιvppngfp δέc αὐτόςrpgfp ἰδούvdaa2s τι-σριιμπ ὁdgfs κουστωδίαngfs ἔρχομαιvpaanmp εἰςp ὁdafs πόλιςnafs ἀπαγγέλλωviaa3p ὁddmp ἀρχιερεύςndmp ἅπαςaanpn ὁdanp γίνομαιvpadanp.

13 στρατιώταις. λέγοντες Εἴπατε ὅτι Οἱ μαθηταὶ αὐτοῦ νυ-
14 κτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. καὶ ἐὰν
ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος ἡμεῖς πείσομεν αὐτὸν καὶ
15 ὑμᾶς ἀμερίμνους ποιήσομεν. οἱ δὲ λαβόντες τὰ ἀργύρια
ἐποίησαν ὡς ἐδιδάχθησαν Καὶ διεφημίσθη ὁ λόγος οὗτος
16 παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕνδεκα μαθη-
ταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν εἰς τὸ ὄρος οὗ ἐτάξατο
17 αὐτοῖς ὁ Ἰησοῦς. καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐ-
18 τῷ, οἱ δὲ ἐδίστασαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν
αὐτοῖς λέγων Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ
19 γῆς. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζον-
τες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ
20 ἁγίου πνεύματος. διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα
ἐνετειλάμην ὑμῖν, καὶ ἰδοὺ ἐγὼ μεθ ὑμῶν εἰμι πάσας τὰς
ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος Ἀμήν.

---

σαν αὐτὸν πάντες οἱ δαίμονες λέγοντες Πέμψον ἡμᾶς εἰς
13 τοὺς χοίρους ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. καὶ ἐπέτρεψεν
αὐτοῖς εὐθέως ὁ Ἰησοῦς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ
ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους καὶ ὥρμησεν ἡ ἀγέλη
κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν ἦσαν δὲ ὡς δισχίλιοι
14 καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. οἱ δὲ βόσκοντες τοὺς χοί-
ρους ἔφυγον καὶ ἀνήγγειλάν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀ-
15 γρούς, καὶ ἐξῆλθον ἰδεῖν τί ἐστιν τὸ γεγονός. καὶ ἔρχονται
πρὸς τὸν Ἰησοῦν καὶ θεωροῦσιν τὸν δαιμονιζόμενον κα-
θήμενον καὶ ἱματισμένον καὶ σωφρονοῦντα τὸν ἐσχηκότα
16 τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν. διηγήσαντο δέ αὐτοῖς οἱ
ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων.

---

v.6 ὁράω^{vpaanms} δέ^{c} ὁ^{dams} Ἰησοῦς^{nams} ἀπό^{p} μακρόθεν^{bo} τρέχω^{viaa3s} καί^{c} προσκυνέω^{viaa3s} αὐτός^{rpdms}. **v.7** καί^{c} κράζω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} λέγω^{viaa3s} τίς^{rqnns} ἐγώ$^{rpd-s}$ καί^{c} σύ$^{rpd-s}$ Ἰησοῦς^{nvms} υἱός^{nvms} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ὕψιστος^{agmsn} ὁρκίζω^{vipa1s} σύ$^{rpa-s}$ ὁ^{dams} θεός^{nams} μή^{xo} ἐγώ$^{rpa-s}$ βασανίζω^{vsaa2s}. **v.8** λέγω^{viia3s} γάρ^{c} αὐτός^{rpdms} ἐξέρχομαι^{vdaa2s} ὁ^{dnns} πνεῦμα^{nnns} ὁ^{dnns} ἀκάθαρτος^{annsn} ἐκ^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **v.9** καί^{c} ἐπερωτάω^{viia3s} αὐτός^{rpams} τίς^{rqnns} σύ$^{rpd-s}$ ὄνομα^{nnns} καί^{c} ἀποκρίνομαι^{viad3s} λέγω^{vppanms} λεγιών^{nnms} ὄνομα^{nnns} ἐγώ$^{rpd-s}$ ὅτι^{c} πολύς^{anmpn} εἰμί^{vipx1p}. **v.10** καί^{c} παρακαλέω^{viia3s} αὐτός^{rpams} πολύς^{aanpn} ἵνα^{c} μή^{xo} αὐτός^{rpamp} ἀποστέλλω^{vsaa3s} ἔξω^{bo} ὁ^{dgfs} χώρα^{ngfs}. **v.11** εἰμί^{viix3s} δέ^{c} ἐκεῖ^{bo} πρός^{p} ὁ^{ddns} ὄρος^{ndns} ἀγέλη^{nnfs} χοῖρος^{ngmp} μέγας^{anfsn} βόσκω^{vpppnfs}. **v.12** καί^{c} παρακαλέω^{viaa3p} αὐτός^{rpams} πᾶς^{anmpn} ὁ^{dnmp} δαίμων^{nnmp} λέγω^{vppanmp} πέμπω^{vdaa2s} ἐγώ$^{rpa-p}$ εἰς^{p} ὁ^{damp} χοῖρος^{namp} ἵνα^{c} εἰς^{p} αὐτός^{rpamp} εἰσέρχομαι^{vsaa1p}. **v.13** καί^{c} ἐπιτρέπω^{viaa3s} αὐτός^{rpdmp} εὐθέως^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} ἐξέρχομαι^{vpaannp} ὁ^{dnnp} πνεῦμα^{nnnp} ὁ^{dnnp} ἀκάθαρτος^{annpn} εἰσέρχομαι^{viaa3p} εἰς^{p} ὁ^{damp} χοῖρος^{namp} καί^{c} ὁρμάω^{viaa3s} ὁ^{dnfs} ἀγέλη^{nnfs} κατά^{p} ὁ^{dgms} κρημνός^{ngms} εἰς^{p} ὁ^{dafs} θάλασσα^{nafs} εἰμί^{viix3p} δέ^{c} ὡς^{bo} δισχίλιοι^{nnmp} καί^{c} πνίγω^{viip3p} ἐν^{p} ὁ^{ddfs} θάλασσα^{ndfs}. **v.14** ὁ^{dnmp} δέ^{c} βόσκω^{vppanmp} ὁ^{damp} χοῖρος^{namp} φεύγω^{viaa3p} καί^{c} ἀναγγέλλω^{viaa3p} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} καί^{c} εἰς^{p} ὁ^{damp} ἀγρός^{namp} καί^{c} ἐξέρχομαι^{viaa3p} ὁράω^{vnaa} τίς^{rqnns} εἰμί^{vipx3s} ὁ^{dnns} γίνομαι^{vpxanns}. **v.15** καί^{c} ἔρχομαι^{vipn3p} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} θεωρέω^{vipa3p} ὁ^{dams} δαιμονίζομαι^{vppnams} κάθημαι^{vppnams} καί^{c} ἱματίζω^{vpxpams} καί^{c} σωφρονέω^{vppaams} ὁ^{dams} ἔχω^{vpxaams} ὁ^{dams} λεγιών^{nams} καί^{c} φοβέομαι^{viao3p}. **v.16** διηγέομαι^{viad3p} δέ^{c} αὐτός^{rpdmp} ὁ^{dnmp} ὁράω^{vpaanmp} πῶς^{bo} γίνομαι^{viad3s} ὁ^{ddms} δαιμονίζομαι^{vppndms} καί^{c} περί^{p} ὁ^{dgmp} χοῖρος^{ngmp}.

καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐ- 17
τῶν. καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει αὐτὸν 18
ὁ δαιμονισθεὶς ἵνα ᾖ μετ αὐτοῦ. ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν 19
αὐτόν ἀλλὰ λέγει αὐτῷ Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς
σούς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ κύριός πεποίηκεν
καὶ ἠλέησέν σε. καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ 20
Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς καὶ πάντες ἐθαύ-
μαζον. Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν 21
εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ αὐτόν καὶ ἦν παρὰ
τὴν θάλασσαν. καὶ ἰδοὺ, ἔρχεται εἷς τῶν ἀρχισυναγώγων 22
ὀνόματι Ἰάειρος καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐ-
τοῦ. καὶ παρεκάλει αὐτὸν πολλὰ λέγων ὅτι Τὸ θυγάτριόν 23
μου ἐσχάτως ἔχει ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας ὅπως
σωθῇ καὶ ζήσεται. καὶ ἀπῆλθεν μετ αὐτοῦ Καὶ ἠκολού- 24
θει αὐτῷ ὄχλος πολύς καὶ συνέθλιβον αὐτόν. καὶ γυνὴ τις 25
οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα. καὶ πολλὰ παθοῦσα 26
ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ αὐτῆς πάντα
καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα.
ἀκούσασα περὶ τοῦ Ἰησοῦ ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥ- 27
ψατο τοῦ ἱματίου αὐτοῦ, ἔλεγεν γὰρ ὅτι κἂν τῶν ἱματίων 28

---

v.17 καί^{c} ἄρχω^{viad3p} παρακαλέω^{vnpa} αὐτός^{rpams} ἀπέρχομαι^{vnaa} ἀπό^{p} ὁ^{dgnp} ὅριον^{ngnp} αὐτός^{rpgmp}. **v.18** καί^{c} ἐμβαίνω^{vpaagms} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} παρακαλέω^{viia3s} αὐτός^{rpams} ὁ^{dnms} δαιμονίζομαι^{vpaonms} ἵνα^{c} εἰμί^{vspx3s} μετά^{p} αὐτός^{rpgms}. **v.19** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} οὐ^{xo} ἀφίημι^{viaa3s} αὐτός^{rpams} ἀλλά^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ὑπάγω^{vdpa2s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} σύ$^{rpg-s}$ πρός^{p} ὁ^{damp} σός^{rsamp} καί^{c} ἀναγγέλλω^{vdaa2s} αὐτός^{rpdmp} ὅσος^{rcanp} σύ$^{rpd-s}$ ὁ^{dnms} κύριος^{nnms} ποιέω^{vixa3s} καί^{c} ἐλεέω^{viaa3s} σύ$^{rpa-s}$. **v.20** καί^{c} ἀπέρχομαι^{viaa3s} καί^{c} ἄρχω^{viad3s} κηρύσσω^{vnpa} ἐν^{p} ὁ^{ddfs} Δεκάπολις^{ndfs} ὅσος^{rcanp} ποιέω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} πᾶς^{anmpn} θαυμάζω^{viia3p}. **v.21** καί^{c} διαπεράω^{vpaagms} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἐν^{p} ὁ^{ddns} πλοῖον^{ndns} πάλιν^{bo} εἰς^{p} ὁ^{dans} πέραν^{bo} συνάγω^{viap3s} ὄχλος^{nnms} πολύς^{anmsn} ἐπί^{p} αὐτός^{rpams} καί^{c} εἰμί^{viix3s} παρά^{p} ὁ^{dafs} θάλασσα^{nafs}. **v.22** καί^{c} ἰδού^{vdaa2s} ἔρχομαι^{vipn3s} εἷς^{nnms} ὁ^{dgmp} ἀρχισυνάγωγος^{ngmp} ὄνομα^{ndns} Ἰάϊρος^{nnms} καί^{c} ὁράω^{vpaanms} αὐτός^{rpams} πίπτω^{vipa3s} πρός^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms}. **v.23** καί^{c} παρακαλέω^{viia3s} αὐτός^{rpams} πολύς^{aanpn} λέγω^{vppanms} ὅτι^{c} ὁ^{dnns} θυγάτριον^{nnns} ἐγώ$^{rpg-s}$ ἐσχάτως^{bo} ἔχω^{vipa3s} ἵνα^{c} ἔρχομαι^{vpaanms} ἐπιτίθημι^{vsaa2s} αὐτός^{rpdfs} ὁ^{dafp} χείρ^{nafp} ὅπως^{bo} σῴζω^{vsap3s} καί^{c} ζάω^{vifd3s}. **v.24** καί^{c} ἀπέρχομαι^{viaa3s} μετά^{p} αὐτός^{rpgms} καί^{c} ἀκολουθέω^{viia3s} αὐτός^{rpdms} ὄχλος^{nnms} πολύς^{anmsn} καί^{c} συνθλίβω^{viia3p} αὐτός^{rpams}. **v.25** καί^{c} γυνή^{nnfs} τίς^{rinfs} εἰμί^{vppxnfs} ἐν^{p} ῥύσις^{ndfs} αἷμα^{ngns} ἔτος^{nnnp} δώδεκα^{tn}. **v.26** καί^{c} πολύς^{aanpn} πάσχω^{vpaanfs} ὑπό^{p} πολύς^{agmpn} ἰατρός^{ngmp} καί^{c} δαπανάω^{vpaanfs} ὁ^{danp} παρά^{p} αὐτός^{rpgfs} πᾶς^{aanpn} καί^{c} μηδείς^{aansn} ὠφελέω^{vpapnfs} ἀλλά^{c} μᾶλλον^{bo} εἰς^{p} ὁ^{dans} χείρων^{aansn} ἔρχομαι^{vpaanfs}. **v.27** ἀκούω^{vpaanfs} περί^{p} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἔρχομαι^{vpaanfs} ἐν^{p} ὁ^{ddms} ὄχλος^{ndms} ὄπισθεν^{bo} ἅπτω^{viad3s} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms}.

29 αὐτοῦ ἅψωμαι σωθήσομαι. καὶ εὐθὲως ἐξηράνθη ἡ πηγὴ
τοῦ αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς
30 μάστιγος. καὶ εὐθὲως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ
αὐτοῦ δύναμιν ἐξελθοῦσαν ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγεν
31 Τίς μου ἥψατο τῶν ἱματίων. καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ
αὐτοῦ Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε καὶ λέγεις Τίς μου
32, 33 ἥψατο. καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. ἡ
δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐ-
τῇ ἦλθεν καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν
34 ἀλήθειαν. ὁ δὲ εἶπεν αὐτῇ θύγατερ ἡ πίστις σου σέσω-
κέν σε, ὕπαγε εἰς εἰρήνην καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός
35 σου. Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώ-
γου λέγοντες ὅτι Ἡ θυγάτηρ σου ἀπέθανεν, τί ἔτι σκύλλεις
36 τὸν διδάσκαλον. ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον
λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ Μὴ φοβοῦ μόνον πί-
37 στευε. καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι εἰ
μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώ-
38 βου. καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου καὶ
39 θεωρεῖ θόρυβον κλαίοντας καὶ ἀλαλάζοντας πολλά. καὶ
εἰσελθὼν λέγει αὐτοῖς Τί θορυβεῖσθε καὶ κλαίετε τὸ παιδίον

---

v.28 λέγω^{viia3s} γάρ^{c} ὅτι^{c} κἂν^{qo} ὁ^{dgnp} ἱμάτιον^{ngnp} αὐτός^{rpgms} ἅπτω^{vsam1s} σῴζω^{vifp1s}. **v.29** καί^{c} εὐθέως^{bo} ξηραίνω^{viap3s} ὁ^{dnfs} πηγή^{nnfs} ὁ^{dgns} αἷμα^{ngns} αὐτός^{rpgfs} καί^{c} γινώσκω^{viaa3s} ὁ^{ddns} σῶμα^{ndns} ὅτι^{c} ἰάομαι^{vixp3s} ἀπό^{p} ὁ^{dgfs} μάστιξ^{ngfs}. **v.30** καί^{c} εὐθέως^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐπιγινώσκω^{vpaanms} ἐν^{p} ἑαυτοῦ^{rxdms} ὁ^{dafs} ἐκ^{p} αὐτός^{rpgms} δύναμις^{nafs} ἐξέρχομαι^{vpaaafs} ἐπιστρέφω^{vpapnms} ἐν^{p} ὁ^{ddms} ὄχλος^{ndms} λέγω^{viia3s} τίς^{rqnfs} ἐγώ$^{rpg-s}$ ἅπτω^{viad3s} ὁ^{dgnp} ἱμάτιον^{ngnp}. **v.31** καί^{c} λέγω^{viia3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} βλέπω^{vipa2s} ὁ^{dams} ὄχλος^{nams} συνθλίβω^{vppaams} σύ$^{rpa-s}$ καί^{c} λέγω^{vipa2s} τίς^{rqnfs} ἐγώ$^{rpg-s}$ ἅπτω^{viad3s}. **v.32** καί^{c} περιβλέπω^{viim3s} ὁράω^{vnaa} ὁ^{dafs} οὗτος^{rdans} ποιέω^{vpaaafs}. **v.33** ὁ^{dnfs} δέ^{c} γυνή^{nnfs} φοβέομαι^{vpaonfs} καί^{c} τρέμω^{vppanfs} οἶδα^{vpxanfs} ὅς^{rrnns} γίνομαι^{vixa3s} ἐπί^{p} αὐτός^{rpdfs} ἔρχομαι^{viaa3s} καί^{c} προσπίπτω^{viaa3s} αὐτός^{rpdms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} πᾶς^{aafsn} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.34** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdfs} θυγάτηρ^{nvfs} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-s}$ σῴζω^{vixa3s} σύ$^{rpa-s}$ ὑπάγω^{vdpa2s} εἰς^{p} εἰρήνη^{nafs} καί^{c} εἰμί^{vdpx2s} ὑγιής^{anfsn} ἀπό^{p} ὁ^{dgfs} μάστιξ^{ngfs} σύ$^{rpg-s}$. **v.35** ἔτι^{bo} αὐτός^{rpgms} λαλέω^{vppagms} ἔρχομαι^{vipn3p} ἀπό^{p} ὁ^{dgms} ἀρχισυνάγωγος^{ngms} λέγω^{vppanmp} ὅτι^{c} ὁ^{dnfs} θυγάτηρ^{nnfs} σύ$^{rpg-s}$ ἀποθνῄσκω^{viaa3s} τίς^{rqans} ἔτι^{bo} σκύλλω^{vipa2s} ὁ^{dams} διδάσκαλος^{nams}. **v.36** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} εὐθέως^{bo} ἀκούω^{vpaanms} ὁ^{dams} λόγος^{nams} λαλέω^{vpppams} λέγω^{vipa3s} ὁ^{ddms} ἀρχισυνάγωγος^{ndms} μή^{xo} φοβέομαι^{vdpn2s} μόνος^{bo} πιστεύω^{vdpa2s}. **v.37** καί^{c} οὐ^{xo} ἀφίημι^{viaa3s} οὐδείς^{aamsn} αὐτός^{rpdms} συνακολουθέω^{vnaa} εἰ^{qo} μή^{xo} Πέτρος^{nams} καί^{c} Ἰάκωβος^{nams} καί^{c} Ἰωάννης^{nams} ὁ^{dams} ἀδελφός^{nams} Ἰάκωβος^{ngms}. **v.38** καί^{c} ἔρχομαι^{vipn3s} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} ἀρχισυνάγωγος^{ngms} καί^{c} θεωρέω^{vipa3s} θόρυβος^{nams} κλαίω^{vppaamp} καί^{c} ἀλαλάζω^{vppaamp} πολύς^{aanpn}.

οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ ὁ 40
δὲ ἐκβαλὼν πάντας παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου
καὶ τὴν μητέρα καὶ τοὺς μετ αὐτοῦ καὶ εἰσπορεύεται ὅπου
ἦν τὸ παιδίον ἀνακείμενον, καὶ κρατήσας τῆς χειρὸς τοῦ 41
παιδίου λέγει αὐτῇ Ταλιθα κοῦμι, ὅ ἐστιν μεθερμηνευόμε-
νον Τὸ κοράσιον σοὶ λέγω ἔγειραι. καὶ εὐθὲως ἀνέστη τὸ 42
κοράσιον καὶ περιεπάτει, ἦν γὰρ ἐτῶν δώδεκα καὶ ἐξέστη-
σαν ἐκστάσει μεγάλῃ. καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα 43
μηδεὶς γνῷ τοῦτο καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν.

Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ **6**
καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ γενομένου 2
σαββάτου ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν καὶ πολλοὶ ἀ-
κούοντες ἐξεπλήσσοντο λέγοντες Πόθεν τούτῳ ταῦτα καὶ
τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν
χειρῶν αὐτοῦ γινόνται· οὐχ οὗτός ἐστιν ὁ τέκτων ὁ υἱὸς 3
Μαρίας ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σί-
μωνος καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς καὶ
ἐσκανδαλίζοντο ἐν αὐτῷ. ἔλεγεν δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι 4
Οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ
ἐν τοῖς συγγενέσιν καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἠδύ- 5

---

v.39 καί[c] εἰσέρχομαι[vpaanms] λέγω[vipa3s] αὐτός[rpdmp] τίς[rqans] θορυβέω[vipp2p] καί[c] κλαίω[vipa2p] ὁ[dnns] παιδίον[nnns] οὐ[xo] ἀποθνῄσκω[viaa3s] ἀλλά[c] καθεύδω[vipa3s]. **v.40** καί[c] καταγελάω[viia3p] αὐτός[rpgms] ὁ[dnms] δέ[c] ἐκβάλλω[vpaanms] πᾶς[aampn] παραλαμβάνω[vipa3s] ὁ[dams] πατήρ[nams] ὁ[dgns] παιδίον[ngns] καί[c] ὁ[dafs] μήτηρ[nafs] καί[c] ὁ[damp] μετά[p] αὐτός[rpgms] καί[c] εἰσπορεύομαι[vipn3s] ὅπου[bo] εἰμί[viix3s] ὁ[dnns] παιδίον[nnns] ἀνάκειμαι[vppnnns]. **v.41** καί[c] κρατέω[vpaanms] ὁ[dgfs] χείρ[ngfs] ὁ[dgns] παιδίον[ngns] λέγω[vipa3s] αὐτός[rpdfs] ταλιθά[ta] κουμ[ta] ὅς[rrnns] εἰμί[vipx3s] μεθερμηνεύω[vpppnns] ὁ[dnns] κοράσιον[nnns] σύ[rpd-s] λέγω[vipa1s] ἐγείρω[vdam2s]. **v.42** καί[c] εὐθέως[bo] ἀνίστημι[viaa3s] ὁ[dnns] κοράσιον[nnns] καί[c] περιπατέω[viia3s] εἰμί[viix3s] γάρ[c] ἔτος[ngnp] δώδεκα[tn] καί[c] ἐξίστημι[viaa3p] ἔκστασις[ndfs] μέγας[adfsn]. **v.43** καί[c] διαστέλλω[viam3s] αὐτός[rpdmp] πολύς[aanpn] ἵνα[c] μηδείς[anmsn] γινώσκω[vsaa3s] οὗτος[rdans] καί[c] λέγω[viaa3s] δίδωμι[vnap] αὐτός[rpdfs] ἐσθίω[vnaa]. **6. v.1** καί[c] ἐξέρχομαι[viaa3s] ἐκεῖθεν[bo] καί[c] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[dafs] πατρίς[nafs] αὐτός[rpgms] καί[c] ἀκολουθέω[vipa3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms]. **v.2** καί[c] γίνομαι[vpadgns] σάββατον[ngns] ἄρχω[viad3s] ἐν[p] ὁ[ddfs] συναγωγή[ndfs] διδάσκω[vnpa] καί[c] πολύς[anmpn] ἀκούω[vppanmp] ἐκπλήσσω[viip3p] λέγω[vppanmp] πόθεν[bo] οὗτος[rddms] οὗτος[rdnnp] καί[c] τίς[rqnfs] ὁ[dnfs] σοφία[nnfs] ὁ[dnfs] δίδωμι[vpapnfs] αὐτός[rpdms] καί[c] δύναμις[nnfp] τοιοῦτος[rdnfp] διά[p] ὁ[dgfp] χείρ[ngfp] αὐτός[rpgms] γίνομαι[vipn3p]. **v.3** οὐ[xo] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] τέκτων[nnms] ὁ[dnms] υἱός[nnms] Μαρία[ngfs] ἀδελφός[nnms] δέ[c] Ἰάκωβος[ngms] καί[c] Ἰωσῆς[ngms] καί[c] Ἰούδας[ngms] καί[c] Σίμων[ngms] καί[c] οὐ[xo] εἰμί[vipx3p] ὁ[dnfp] ἀδελφή[nnfp] αὐτός[rpgms] ὧδε[bo] πρός[p] ἐγώ[rpa-p] καί[c] σκανδαλίζω[viip3p] ἐν[p] αὐτός[rpdms]. **v.4** λέγω[viia3s] δέ[c] αὐτός[rpdmp] ὁ[dnms] Ἰησοῦς[nnms] ὅτι[c] οὐ[xo] εἰμί[vipx3s] προφήτης[nnms] ἄτιμος[anmsn] εἰ[qo] μή[xo] ἐν[p] ὁ[ddfs] πατρίς[ndfs] αὐτός[rpgms] καί[c] ἐν[p] ὁ[ddmp] συγγενής[admpn] καί[c] ἐν[p] ὁ[ddfs] οἰκία[ndfs] αὐτός[rpgms].

νατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι εἰ μὴ ὀλίγοις ἀρρώ-
6 στοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν. καὶ ἐθαύμαζεν διὰ
τὴν ἀπιστίαν αὐτῶν Καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδά-
7 σκων. καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐτοὺς
ἀποστέλλειν δύο δύο καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευ-
8 μάτων τῶν ἀκαθάρτων. καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν
αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον μὴ πήραν μὴ ἄρτον
9 μὴ εἰς τὴν ζώνην χαλκόν. ἀλλ᾽ ὑποδεδεμένους σανδάλια
10 καὶ μὴ ἐνδύσησθε δύο χιτῶνας. καὶ ἔλεγεν αὐτοῖς Ὅπου
ἐὰν εἰσέλθητε εἰς οἰκίαν ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖ-
11 θεν. καὶ ὅσοι ἂν μὴ δέξωνταί ὑμᾶς μηδὲ ἀκούσωσιν ὑμῶν
ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω
τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς ἀμὴν λέγω ὑμῖν, ἀ-
νεκτοτερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως,
12 ἢ τῇ πόλει ἐκείνῃ. Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανο-
13 ήσωσιν. καὶ δαιμόνια πολλὰ ἐξέβαλλον καὶ ἤλειφον ἐλαίῳ
14 πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον. Καὶ ἤκουσεν ὁ βα-
σιλεὺς Ἡρῴδης φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ καὶ
ἔλεγεν ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ
15 τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. ἄλλοι ἔλεγον ὅτι
Ἠλίας ἐστίν, ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ἐστίν, ὡς εἷς

---

v.5 καί^{c} οὐ^{xo} δύναμαι^{viin3s} ἐκεῖ^{bo} οὐδείς^{aafsn} δύναμις^{nafs} ποιέω^{vnaa} εἰ^{qo} μή^{xo} ὀλίγος^{admpn} ἄρρωστος^{admpn} ἐπιτίθημι^{vpaanms} ὁ^{dafp} χείρ^{nafp} θεραπεύω^{viaa3s}. **v.6** καί^{c} θαυμάζω^{viia3s} διά^{p} ὁ^{dafs} ἀπιστία^{nafs} αὐτός^{rpgmp} καί^{c} περιάγω^{viia3s} ὁ^{dafp} κώμη^{nafp} κύκλῳ^{ndms} διδάσκω^{vppanms}. **v.7** καί^{c} προσκαλέομαι^{vipn3s} ὁ^{damp} δώδεκα^{tn} καί^{c} ἄρχω^{viad3s} αὐτός^{rpamp} ἀποστέλλω^{vnpa} δύο^{tn} δύο^{tn} καί^{c} δίδωμι^{viia3s} αὐτός^{rpdmp} ἐξουσία^{nafs} ὁ^{dgnp} πνεῦμα^{ngnp} ὁ^{dgnp} ἀκάθαρτος^{agnpn}. **v.8** καί^{c} παραγγέλλω^{viaa3s} αὐτός^{rpdmp} ἵνα^{c} μηδείς^{aansn} αἴρω^{vspa3p} εἰς^{p} ὁδός^{nafs} εἰ^{qo} μή^{xo} ῥάβδος^{nafs} μόνος^{bo} μή^{xo} πήρα^{nafs} μή^{xo} ἄρτος^{nams} μή^{xo} εἰς^{p} ὁ^{dafs} ζώνη^{nafs} χαλκός^{nams}. **v.9** ἀλλά^{c} ὑποδέω^{vpxpamp} σανδάλιον^{nanp} καί^{c} μή^{xo} ἐνδύω^{vsam2p} δύο^{tn} χιτών^{namp}. **v.10** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} ὅπου^{bo} ἐάν^{qo} εἰσέρχομαι^{vsaa2p} εἰς^{p} οἰκία^{nafs} ἐκεῖ^{bo} μένω^{vdpa2p} ἕως^{c} ἄν^{xo} ἐξέρχομαι^{vsaa2p} ἐκεῖθεν^{bo}. **v.11** καί^{c} ὅσος^{rcnmp} ἄν^{xo} μή^{xo} δέχομαι^{vsad3p} σύ$^{rpa-p}$ μηδέ^{c} ἀκούω^{vsaa3p} σύ$^{rpg-p}$ ἐκπορεύομαι^{vppnnmp} ἐκεῖθεν^{bo} ἐκτινάσσω^{vdaa2p} ὁ^{dams} χοῦς^{nams} ὁ^{dams} ὑποκάτω^{bo} ὁ^{dgmp} πούς^{ngmp} σύ$^{rpg-p}$ εἰς^{p} μαρτύριον^{nans} αὐτός^{rpdmp} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἀνεκτός^{annsc} εἰμί^{vifx3s} Σόδομα^{ndnp} ἤ^{xo} Γόμορρα^{ndnp} ἐν^{p} ἡμέρα^{ndfs} κρίσις^{ngfs} ἤ^{xo} ὁ^{ddfs} πόλις^{ndfs} ἐκεῖνος^{rddfs}. **v.12** καί^{c} ἐξέρχομαι^{vpaanmp} κηρύσσω^{viia3p} ἵνα^{c} μετανοέω^{vsaa3p}. **v.13** καί^{c} δαιμόνιον^{nanp} πολύς^{aanpn} ἐκβάλλω^{viia3p} καί^{c} ἀλείφω^{viia3p} ἔλαιον^{ndns} πολύς^{aampn} ἄρρωστος^{aampn} καί^{c} θεραπεύω^{viia3p}. **v.14** καί^{c} ἀκούω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnms} Ἡρῴδης^{nnms} φανερός^{annsn} γάρ^{c} γίνομαι^{viad3s} ὁ^{dnns} ὄνομα^{nnns} αὐτός^{rpgms} καί^{c} λέγω^{viia3s} ὅτι^{c} Ἰωάννης^{nnms} ὁ^{dnms} βαπτίζω^{vppanms} ἐκ^{p} νεκρός^{agmpn} ἐγείρω^{viap3s} καί^{c} διά^{p} οὗτος^{rdans} ἐνεργέω^{vipa3p} ὁ^{dnfp} δύναμις^{nnfp} ἐν^{p} αὐτός^{rpdms}.

τῶν προφητῶν. ἀκούσας δὲ [ὁ] Ἡρῴδης εἶπεν, ὅτι Ὃν 16
ἐγὼ ἀπεκεφάλισα Ἰωάννην οὗτος ἐστιν, αὐτὸς ἠγέρθη ἐκ
νεκρῶν. Αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησεν τὸν 17
Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν
γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ ὅτι αὐτὴν ἐγάμησεν,
ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι Οὐκ ἔξεστίν σοι ἔχειν 18
τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐ- 19
τῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι καὶ οὐκ ἠδύνατο, ὁ γὰρ 20
Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην εἰδὼς αὐτὸν ἄνδρα δίκαιον
καὶ ἅγιον καὶ συνετήρει αὐτόν καὶ ἀκούσας αὐτοῦ πολλὰ
ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουεν. Καὶ γενομένης ἡμέρας 21
εὐκαίρου ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει
τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις
τῆς Γαλιλαίας. καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς 22
Ἡρῳδιάδος καὶ ὀρχησαμένης καὶ ἀρεσασης, τῷ Ἡρῴδῃ καὶ
τοῖς συνανακειμένοις εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ Αἴτησόν
με ὃ ἐὰν θέλῃς καὶ δώσω σοι, καὶ ὤμοσεν αὐτῇ ὅτι, Ὅ ἐάν 23
με αἰτήσῃς δώσω σοι ἕως ἡμίσους τῆς βασιλείας μου. ἡ 24
δὲ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς Τί αἰτήσομαι· ἡ δὲ εἶ-

---

v.15 ἄλλος^{anmpn} λέγω^{viia3p} ὅτι^{c} Ἠλίας^{nnms} εἰμί^{vipx3s} ἄλλος^{anmpn} δέ^{c} λέγω^{viia3p} ὅτι^{c} προφήτης^{nnms} εἰμί^{vipx3s} ὡς^{bo} εἷς^{nnms} ὁ^{dgmp} προφήτης^{ngmp}. **v.16** ἀκούω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἡρῴδης^{nnms} λέγω^{viaa3s} ὅτι^{c} ὅς^{rrams} ἐγώ$^{rpn-s}$ ἀποκεφαλίζω^{viaa1s} Ἰωάννης^{nams} οὗτος^{rdnms} εἰμί^{vipx3s} αὐτός^{rpnms} ἐγείρω^{viap3s} ἐκ^{p} νεκρός^{agmpn}. **v.17** αὐτός^{rpnms} γάρ^{c} ὁ^{dnms} Ἡρῴδης^{nnms} ἀποστέλλω^{vpaanms} κρατέω^{viaa3s} ὁ^{dams} Ἰωάννης^{nams} καί^{c} δέω^{viaa3s} αὐτός^{rpams} ἐν^{p} φυλακή^{ndfs} διά^{p} Ἡρῳδιάς^{nafs} ὁ^{dafs} γυνή^{nafs} Φίλιππος^{ngms} ὁ^{dgms} ἀδελφός^{ngms} αὐτός^{rpgms} ὅτι^{c} αὐτός^{rpafs} γαμέω^{viaa3s}. **v.18** λέγω^{viia3s} γάρ^{c} ὁ^{dnms} Ἰωάννης^{nnms} ὁ^{ddms} Ἡρῴδης^{ndms} ὅτι^{c} οὐ^{xo} ἔξεστι^{vipq3s} σύ$^{rpd-s}$ ἔχω^{vnpa} ὁ^{dafs} γυνή^{nafs} ὁ^{dgms} ἀδελφός^{ngms} σύ$^{rpg-s}$. **v.19** ὁ^{dnfs} δέ^{c} Ἡρῳδιάς^{nnfs} ἐνέχω^{viia3s} αὐτός^{rpdms} καί^{c} θέλω^{viia3s} αὐτός^{rpams} ἀποκτείνω^{vnaa} καί^{c} οὐ^{xo} δύναμαι^{viin3s}. **v.20** ὁ^{dnms} γάρ^{c} Ἡρῴδης^{nnms} φοβέομαι^{viin3s} ὁ^{dams} Ἰωάννης^{nams} οἶδα^{vpxanms} αὐτός^{rpams} ἀνήρ^{nams} δίκαιος^{aamsn} καί^{c} ἅγιος^{aamsn} καί^{c} συντηρέω^{viia3s} αὐτός^{rpams} καί^{c} ἀκούω^{vpaanms} αὐτός^{rpgms} πολύς^{aanpn} ποιέω^{viia3s} καί^{c} ἡδέως^{bo} αὐτός^{rpgms} ἀκούω^{viia3s}. **v.21** καί^{c} γίνομαι^{vpadgfs} ἡμέρα^{ngfs} εὔκαιρος^{agfsn} ὅτε^{bo} Ἡρῴδης^{nnms} ὁ^{ddnp} γενέσια^{ndnp} αὐτός^{rpgms} δεῖπνον^{nans} ποιέω^{viia3s} ὁ^{ddmp} μεγιστάν^{ndmp} αὐτός^{rpgms} καί^{c} ὁ^{ddmp} χιλίαρχος^{ndmp} καί^{c} ὁ^{ddmp} πρῶτος^{admpn} ὁ^{dgfs} Γαλιλαία^{ngfs}. **v.22** καί^{c} εἰσέρχομαι^{vpaagfs} ὁ^{dgfs} θυγάτηρ^{ngfs} αὐτός^{rpgfs} ὁ^{dgfs} Ἡρῳδιάς^{ngfs} καί^{c} ὀρχέομαι^{vpadgfs} καί^{c} ἀρέσκω^{vpaagfs} ὁ^{ddms} Ἡρῴδης^{ndms} καί^{c} ὁ^{ddmp} συνανάκειμαι^{vppndmp} λέγω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{ddns} κοράσιον^{ndns} αἰτέω^{vdaa2s} ἐγώ$^{rpa-s}$ ὅς^{rrans} ἐάν^{qo} θέλω^{vspa2s} καί^{c} δίδωμι^{vifa1s} σύ$^{rpd-s}$. **v.23** καί^{c} ὀμνύω^{viaa3s} αὐτός^{rpdfs} ὅτι^{c} ὅς^{rrans} ἐάν^{qo} ἐγώ$^{rpa-s}$ αἰτέω^{vsaa2s} δίδωμι^{vifa1s} σύ$^{rpd-s}$ ἕως^{c} ἥμισυς^{agnsn} ὁ^{dgfs} βασιλεία^{ngfs} ἐγώ$^{rpg-s}$.

25 πεν Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτίστου. καὶ εἰσελθοῦσα
εὐθὲως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα
Θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάν-
26 νου τοῦ βαπτιστοῦ. καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς
διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν
27 αὐτήν, ἀθετῆσαι. καὶ εὐθὲως ἀποστείλας ὁ βασιλεὺς σπε-
28 κουλάτορα ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. ὁ δέ
ἀπελθὼν ἀπεκεφάλισεν αὐτόν ἔν τῇ φυλακή καὶ ἤνεγκεν
τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορα-
29 σίῳ καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. καὶ
ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα
30 αὐτοῦ καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. Καὶ συνάγονται οἱ ἀ-
πόστολοι πρὸς τὸν Ἰησοῦν καὶ ἀπήγγειλαν αὐτῷ πάντα καὶ
31 ὅσα ἐποίησαν Καὶ ὅσα ἐδίδαξαν. καὶ εἶπεν αὐτοῖς Δεῦτε
ὑμεῖς αὐτοὶ κατ ἰδίαν εἰς ἔρημον τόπον καὶ ἀναπαύεσθε
ὀλίγον ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί καὶ
32 οὐδὲ φαγεῖν εὐκαίρουν. καὶ ἀπῆλθον εἰς ἔρημον τόπον
33 τῷ πλοίῳ κατ ἰδίαν. καὶ εἶδον αὐτοὺς ὑπάγοντας καὶ ἐ-
πέγνωσαν αὐτὸν πολλοί καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων
συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτούς καὶ συνῆλθον πρὸς

---

v.24 ὁ^{dnfs} δέ^{c} ἐξέρχομαι^{vpaanfs} λέγω^{viaa3s} ὁ^{ddfs} μήτηρ^{ndfs} αὐτός^{rpgfs} τίς^{rqans} αἰτέω^{vifm1s} ὁ^{dnfs} δέ^{c} λέγω^{viaa3s} ὁ^{dafs} κεφαλή^{nafs} Ἰωάννης^{ngms} ὁ^{dgms} βαπτιστής^{ngms}. **v.25** καί^{c} εἰσέρχομαι^{vpaanfs} εὐθέως^{bo} μετά^{p} σπουδή^{ngfs} πρός^{p} ὁ^{dams} βασιλεύς^{nams} αἰτέω^{viam3s} λέγω^{vppanfs} θέλω^{vipa1s} ἵνα^{c} ἐγώ$^{rpd-s}$ δίδωμι^{vsaa2s} ἐξαυτῆς^{bo} ἐπί^{p} πίναξ^{ndfs} ὁ^{dafs} κεφαλή^{nafs} Ἰωάννης^{ngms} ὁ^{dgms} βαπτιστής^{ngms}. **v.26** καί^{c} περίλυπος^{anmsn} γίνομαι^{vpadnms} ὁ^{dnms} βασιλεύς^{nnms} διά^{p} ὁ^{damp} ὅρκος^{namp} καί^{c} ὁ^{damp} συνανάκειμαι^{vppnamp} οὐ^{xo} θέλω^{viaa3s} αὐτός^{rpafs} ἀθετέω^{vnaa}. **v.27** καί^{c} εὐθέως^{bo} ἀποστέλλω^{vpaanms} ὁ^{dnms} βασιλεύς^{nnms} σπεκουλάτωρ^{nams} ἐπιτάσσω^{viaa3s} φέρω^{vnap} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms}. **v.28** ὁ^{dnms} δέ^{c} ἀπέρχομαι^{vpaanms} ἀποκεφαλίζω^{viaa3s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} φυλακή^{ndfs} καί^{c} φέρω^{viaa3s} ὁ^{dafs} κεφαλή^{nafs} αὐτός^{rpgms} ἐπί^{p} πίναξ^{ndfs} καί^{c} δίδωμι^{viaa3s} αὐτός^{rpafs} ὁ^{ddns} κοράσιον^{ndns} καί^{c} ὁ^{dnns} κοράσιον^{nnns} δίδωμι^{viaa3s} αὐτός^{rpafs} ὁ^{ddfs} μήτηρ^{ndfs} αὐτός^{rpgfs}. **v.29** καί^{c} ἀκούω^{vpaanmp} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ἔρχομαι^{viaa3p} καί^{c} αἴρω^{viaa3p} ὁ^{dans} πτῶμα^{nans} αὐτός^{rpgms} καί^{c} τίθημι^{viaa3p} αὐτός^{rpans} ἐν^{p} μνημεῖον^{ndns}. **v.30** καί^{c} συνάγω^{vipp3p} ὁ^{dnmp} ἀπόστολος^{nnmp} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} ἀπαγγέλλω^{viaa3p} αὐτός^{rpdms} πᾶς^{aanpn} καί^{c} ὅσος^{rcanp} ποιέω^{viaa3p} καί^{c} ὅσος^{rcanp} διδάσκω^{viaa3p}. **v.31** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} δεῦτε^{vdvx2p} σύ$^{rpn-p}$ αὐτός^{rpnmp} κατά^{p} ἴδιος^{aafsn} εἰς^{p} ἔρημος^{aamsn} τόπος^{nams} καί^{c} ἀναπαύω^{vdpm2p} ὀλίγος^{bo} εἰμί^{viix3p} γάρ^{c} ὁ^{dnmp} ἔρχομαι^{vppnnmp} καί^{c} ὁ^{dnmp} ὑπάγω^{vppanmp} πολύς^{anmpn} καί^{c} οὐδέ^{bo} ἐσθίω^{vnaa} εὐκαιρέω^{viia3p}. **v.32** καί^{c} ἀπέρχομαι^{viaa3p} εἰς^{p} ἔρημος^{aamsn} τόπος^{nams} ὁ^{ddns} πλοῖον^{ndns} κατά^{p} ἴδιος^{aafsn}.

αὐτὸν. καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον καὶ ἐσ- 34
πλαγχνίσθη ἐπ αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποι-
μένα καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. Καὶ ἤδη ὥρας 35
πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ
λέγουσιν ὅτι Ἔρημός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή,
ἀπόλυσον αὐτούς ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς 36
καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους τί γὰρ φάγωσιν οὐκ
ἔχουσιν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς Δότε αὐτοῖς ὑμεῖς 37
φαγεῖν καὶ λέγουσιν αὐτῷ Ἀπελθόντες ἀγοράσωμεν δηνα-
ρίων διακοσίων ἄρτους καὶ δώμεν αὐτοῖς φαγεῖν. ὁ δὲ 38
λέγει αὐτοῖς Πόσους ἄρτους ἔχετε ὑπάγετε καὶ ἴδετε καὶ
γνόντες λέγουσιν Πέντε καὶ δύο ἰχθύας. καὶ ἐπέταξεν αὐ- 39
τοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ
χόρτῳ. καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ ἀνὰ 40
πεντήκοντα. καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο 41
ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κατέκλα-
σεν τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρα-
θῶσιν αὐτοῖς καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν. καὶ 42
ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. καὶ ἦραν κλασμάτων 43

---

v.33 καί^{c} ὁράω^{viaa3p} αὐτός^{rpamp} ὑπάγω^{vppaamp} καί^{c} ἐπιγινώσκω^{viaa3p} αὐτός^{rpams} πολύς^{anmpn} καί^{c} πεζῇ^{bo} ἀπό^{p} πᾶς^{agfpn} ὁ^{dgfp} πόλις^{ngfp} συντρέχω^{viaa3p} ἐκεῖ^{bo} καί^{c} προέρχομαι^{viaa3p} αὐτός^{rpamp} καί^{c} συνέρχομαι^{viaa3p} πρός^{p} αὐτός^{rpams}. **v.34** καί^{c} ἐξέρχομαι^{vpaanms} ὁράω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} πολύς^{aamsn} ὄχλος^{nams} καί^{c} σπλαγχνίζομαι^{viao3s} ἐπί^{p} αὐτός^{rpdmp} ὅτι^{c} εἰμί^{viix3p} ὡς^{bo} πρόβατον^{nnnp} μή^{xo} ἔχω^{vppannp} ποιμήν^{nams} καί^{c} ἄρχω^{viad3s} διδάσκω^{vnpa} αὐτός^{rpamp} πολύς^{aanpn}. **v.35** καί^{c} ἤδη^{bo} ὥρα^{ngfs} πολύς^{agfsn} γίνομαι^{vpadgfs} προσέρχομαι^{vpaanmp} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} λέγω^{vipa3p} ὅτι^{c} ἔρημος^{anmsn} εἰμί^{vipx3s} ὁ^{dnms} τόπος^{nnms} καί^{c} ἤδη^{bo} ὥρα^{nnfs} πολύς^{anfsn}. **v.36** ἀπολύω^{vdaa2s} αὐτός^{rpamp} ἵνα^{c} ἀπέρχομαι^{vpaanmp} εἰς^{p} ὁ^{damp} κύκλῳ^{ndms} ἀγρός^{namp} καί^{c} κώμη^{nafp} ἀγοράζω^{vsaa3p} ἑαυτοῦ^{rxdmp} ἄρτος^{namp} τίς^{rqans} γάρ^{c} ἐσθίω^{vsaa3p} οὐ^{xo} ἔχω^{vipa3p}. **v.37** ὁ^{dnms} δέ^{c} ἀποκρίνομαι^{vpaonms} λέγω^{viaa3s} αὐτός^{rpdmp} δίδωμι^{vdaa2p} αὐτός^{rpdmp} σύ$^{rpn-p}$ ἐσθίω^{vnaa} καί^{c} λέγω^{vipa3p} αὐτός^{rpdms} ἀπέρχομαι^{vpaanmp} ἀγοράζω^{vsaa1p} δηνάριον^{ngnp} διακόσιοι^{ngnp} ἄρτος^{namp} καί^{c} δίδωμι^{vsaa1p} αὐτός^{rpdmp} ἐσθίω^{vnaa}. **v.38** ὁ^{dnms} δέ^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} πόσος^{roamp} ἄρτος^{namp} ἔχω^{vipa2p} ὑπάγω^{vdpa2p} καί^{c} ὁράω^{vdaa2p} καί^{c} γινώσκω^{vpaanmp} λέγω^{vipa3p} πέντε^{tn} καί^{c} δύο^{tn} ἰχθύς^{namp}. **v.39** καί^{c} ἐπιτάσσω^{viaa3s} αὐτός^{rpdmp} ἀνακλίνω^{vnaa} πᾶς^{aampn} συμπόσιον^{nanp} συμπόσιον^{nanp} ἐπί^{p} ὁ^{ddms} χλωρός^{admsn} χόρτος^{ndms}. **v.40** καί^{c} ἀναπίπτω^{viaa3p} πρασιά^{nnfp} πρασιά^{nnfp} ἀνά^{p} ἑκατόν^{tn} καί^{c} ἀνά^{p} πεντήκοντα^{tn}. **v.41** καί^{c} λαμβάνω^{vpaanms} ὁ^{damp} πέντε^{tn} ἄρτος^{namp} καί^{c} ὁ^{damp} δύο^{tn} ἰχθύς^{namp} ἀναβλέπω^{vpaanms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} εὐλογέω^{viaa3s} καί^{c} κατακλάω^{viaa3s} ὁ^{damp} ἄρτος^{namp} καί^{c} δίδωμι^{viia3s} ὁ^{ddmp} μαθητής^{ndmp} αὐτός^{rpgms} ἵνα^{c} παρατίθημι^{vsaa3p} αὐτός^{rpdmp} καί^{c} ὁ^{damp} δύο^{tn} ἰχθύς^{namp} μερίζω^{viaa3s} πᾶς^{admpn}. **v.42** καί^{c} ἐσθίω^{viaa3p} πᾶς^{anmpn} καί^{c} χορτάζω^{viap3p}.

44 δώδεκα κοφίνους πληρεις, καὶ ἀπὸ τῶν ἰχθύων. καὶ ἦσαν
45 οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες. Καὶ εὐ-
θὲως ἠνάγκασεν τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον
καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν ἕως αὐτὸς ἀ-
46 πολύσῃ τὸν ὄχλον. καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς
47 τὸ ὄρος προσεύξασθαι. καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον
48 ἐν μέσῳ τῆς θαλάσσης καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. καὶ
εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν ἦν γὰρ ὁ ἄνε-
μος ἐναντίος αὐτοῖς καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς
ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθε-
49 λεν παρελθεῖν αὐτούς. οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα
ἐπὶ τῆς θαλάσσης ἔδοξαν φάντασμά εἶναι, καὶ ἀνέκραξαν,
50 πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν καὶ εὐθὲως ἐλά-
λησεν μετ αὐτῶν καὶ λέγει αὐτοῖς Θαρσεῖτε ἐγώ εἰμι, μὴ
51 φοβεῖσθε. καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον καὶ ἐκό-
πασεν ὁ ἄνεμος καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο,
52 καὶ ἐθαύμαζον. οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις ἦν γὰρ
53 αὐτῶν ἡ καρδία πεπωρωμένη. Καὶ διαπεράσαντες ἦλθον
54 ἐπὶ τὴν γῆν Γεννησαρὲτ καὶ προσωρμίσθησαν. καὶ ἐξελ-
55 θόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθὲως ἐπιγνόντες αὐτὸν. πε-

---

v.43 καί^{c} αἴρω^{viaa3p} κλάσμα^{ngnp} δώδεκα^{tn} κόφινος^{namp} πλήρης^{aampn} καί^{c} ἀπό^{p} ὁ^{dgmp} ἰχθύς^{ngmp}. **v.44** καί^{c} εἰμί^{viix3p} ὁ^{dnmp} ἐσθίω^{vpaanmp} ὁ^{damp} ἄρτος^{namp} πεντακισχίλιοι^{nnmp} ἀνήρ^{nnmp}. **v.45** καί^{c} εὐθέως^{bo} ἀναγκάζω^{viaa3s} ὁ^{damp} μαθητής^{namp} αὐτός^{rpgms} ἐμβαίνω^{vnaa} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} καί^{c} προάγω^{vnpa} εἰς^{p} ὁ^{dans} πέραν^{bo} πρός^{p} Βηθσαϊδά^{tp} ἕως^{c} αὐτός^{rpnms} ἀπολύω^{vsaa3s} ὁ^{dams} ὄχλος^{nams}. **v.46** καί^{c} ἀποτάσσω^{vpamnms} αὐτός^{rpdmp} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dans} ὄρος^{nans} προσεύχομαι^{vnad}. **v.47** καί^{c} ὄψιος^{agfsn} γίνομαι^{vpadgfs} εἰμί^{viix3s} ὁ^{dnns} πλοῖον^{nnns} ἐν^{p} μέσος^{adnsn} ὁ^{dgfs} θάλασσα^{ngfs} καί^{c} αὐτός^{rpnms} μόνος^{anmsn} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.48** καί^{c} ὁράω^{viaa3s} αὐτός^{rpamp} βασανίζω^{vpppamp} ἐν^{p} ὁ^{ddms} ἐλαύνω^{vnpa} εἰμί^{viix3s} γάρ^{c} ὁ^{dnms} ἄνεμος^{nnms} ἐναντίος^{anmsn} αὐτός^{rpdmp} καί^{c} περί^{p} τέταρτος^{aafsn} φυλακή^{nafs} ὁ^{dgfs} νύξ^{ngfs} ἔρχομαι^{vipn3s} πρός^{p} αὐτός^{rpamp} περιπατέω^{vppanms} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} καί^{c} θέλω^{viia3s} παρέρχομαι^{vnaa} αὐτός^{rpamp}. **v.49** ὁ^{dnmp} δέ^{c} ὁράω^{vpaanmp} αὐτός^{rpams} περιπατέω^{vppaams} ἐπί^{p} ὁ^{dgfs} θάλασσα^{ngfs} δοκέω^{viaa3p} φάντασμα^{nnns} εἰμί^{vnpx} καί^{c} ἀνακράζω^{viaa3p}. **v.50** πᾶς^{anmpn} γάρ^{c} αὐτός^{rpams} ὁράω^{viaa3p} καί^{c} ταράσσω^{viap3p} καί^{c} εὐθέως^{bo} λαλέω^{viaa3s} μετά^{p} αὐτός^{rpgmp} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} θαρσέω^{vdpa2p} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} μή^{xo} φοβέομαι^{vdpn2p}. **v.51** καί^{c} ἀναβαίνω^{viaa3s} πρός^{p} αὐτός^{rpamp} εἰς^{p} ὁ^{dans} πλοῖον^{nans} καί^{c} κοπάζω^{viaa3s} ὁ^{dnms} ἄνεμος^{nnms} καί^{c} λίαν^{bo} ἐκ^{p} περισσός^{agnsn} ἐν^{p} ἑαυτοῦ^{rxdmp} ἐξίστημι^{viim3p} καί^{c} θαυμάζω^{viia3p}. **v.52** οὐ^{xo} γάρ^{c} συνίημι^{viaa3p} ἐπί^{p} ὁ^{ddmp} ἄρτος^{ndmp} εἰμί^{viix3s} γάρ^{c} αὐτός^{rpgmp} ὁ^{dnfs} καρδία^{nnfs} πωρόω^{vpxpnfs}. **v.53** καί^{c} διαπεράω^{vpaanmp} ἔρχομαι^{viaa3p} ἐπί^{p} ὁ^{dafs} γῆ^{nafs} Γεννησαρέτ^{tp} καί^{c} προσορμίζω^{viap3p}. **v.54** καί^{c} ἐξέρχομαι^{vpaagmp} αὐτός^{rpgmp} ἐκ^{p} ὁ^{dgns} πλοῖον^{ngns} εὐθέως^{bo} ἐπιγινώσκω^{vpaanmp} αὐτός^{rpams}.

ριδραμόντες ὅλην τὴν περίχωρον ἐκείνην ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστίν. καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πό- 56
λεις ἢ ἀγροὺς ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται, καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ ἐσῴζοντο.

Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν **7**
γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων. καὶ ἰδόντες τι- 2
νὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσίν τοῦτ ἔστιν ἀνίπτοις ἐσθίοντας ἄρτους ἐμέμψαντο. οἱ γὰρ Φαρισαῖοι καὶ πάν- 3
τες οἱ Ἰουδαῖοι ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας οὐκ ἐσθίουσιν κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων. καὶ 4
ἀπὸ ἀγορᾶς ἐὰν μὴ βαπτίσωνται οὐκ ἐσθίουσιν καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν. ἔπειτα ἐπερωτῶσιν αὐτὸν 5
οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς Διὰ τί οἱ μαθηταί σου οὐ περιπατοῦσιν κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ἀλλὰ ἀνίπτοις χερσὶν ἐσθίουσιν τὸν ἄρτον. ὁ δὲ ἀποκριθεὶς εἶ- 6
πεν αὐτοῖς ὅτι Καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν ὡς γέγραπται Οὗτος ὁ λαὸς τοῖς χείλεσίν με τιμᾷ

---

v.55 περιτρέχω^{vpaanmp} ὅλος^{aafsn} ὁ^{dafs} περίχωρος^{aafsn} ἐκεῖνος^{rdafs} ἄρχω^{viad3p} ἐπί^{p} ὁ^{ddmp} κράβαττος^{ndmp} ὁ^{damp} κακῶς^{bo} ἔχω^{vppaamp} περιφέρω^{vnpa} ὅπου^{bo} ἀκούω^{viia3p} ὅτι^{c} ἐκεῖ^{bo} εἰμί^{vipx3s}. **v.56** καί^{c} ὅπου^{bo} ἄν^{xo} εἰσπορεύομαι^{viin3s} εἰς^{p} κώμη^{nafp} ἤ^{xo} πόλις^{nafp} ἤ^{xo} ἀγρός^{namp} ἐν^{p} ὁ^{ddfp} ἀγορά^{ndfp} τίθημι^{viia3p} ὁ^{damp} ἀσθενέω^{vppaamp} καί^{c} παρακαλέω^{viia3p} αὐτός^{rpams} ἵνα^{c} κἄν^{qo} ὁ^{dgns} κράσπεδον^{ngns} ὁ^{dgns} ἱμάτιον^{ngns} αὐτός^{rpgms} ἅπτω^{vsam3p} καί^{c} ὅσος^{rcnmp} ἄν^{xo} ἅπτω^{viin3p} αὐτός^{rpgms} σῴζω^{viip3p}. **7. v.1** καί^{c} συνάγω^{vipp3p} πρός^{p} αὐτός^{rpams} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} καί^{c} τι-σρινμπ ὁ^{dgmp} γραμματεύς^{ngmp} ἔρχομαι^{vpaanmp} ἀπό^{p} Ἱεροσόλυμα^{ngnp}. **v.2** καί^{c} ὁράω^{vpaanmp} τι-σριαμπ ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms} κοινός^{adfpn} χείρ^{ndfp} οὗτος^{rdnns} εἰμί^{vipxa} ἀνίπτος^{admpn} ἐσθίω^{vppaamp} ἄρτος^{namp} μέμφομαι^{viad3p}. **v.3** ὁ^{dnmp} γάρ^{c} Φαρισαῖος^{nnmp} καί^{c} πᾶς^{anmpn} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} ἐάν^{qo} μή^{xo} πυγμή^{ndfs} νίπτω^{vsam3p} ὁ^{dafp} χείρ^{nafp} οὐ^{xo} ἐσθίω^{vipa3p} κρατέω^{vppanmp} ὁ^{dafs} παράδοσις^{nafs} ὁ^{dgmp} πρεσβύτερος^{agmpn}. **v.4** καί^{c} ἀπό^{p} ἀγορά^{ngfs} ἐάν^{qo} μή^{xo} βαπτίζω^{vsam3p} οὐ^{xo} ἐσθίω^{vipa3p} καί^{c} ἄλλος^{annpn} πολύς^{annpn} εἰμί^{vipx3s} ὅς^{rranp} παραλαμβάνω^{viaa3p} κρατέω^{vnpa} βαπτισμός^{namp} ποτήριον^{ngnp} καί^{c} ξέστης^{ngmp} καί^{c} χαλκίον^{ngnp} καί^{c} κλίνη^{ngfp}. **v.5** ἔπειτα^{bo} ἐπερωτάω^{vipa3p} αὐτός^{rpams} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} καί^{c} ὁ^{dnmp} γραμματεύς^{nnmp} διά^{p} τίς^{rqans} ὁ^{dnmp} μαθητής^{nnmp} σύ$^{rpg-s}$ οὐ^{xo} περιπατέω^{vipa3p} κατά^{p} ὁ^{dafs} παράδοσις^{nafs} ὁ^{dgmp} πρεσβύτερος^{agmpn} ἀλλά^{c} ἄνιπτος^{admpn} χείρ^{ndfp} ἐσθίω^{vipa3p} ὁ^{dams} ἄρτος^{nams}.

7 ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ ἐμοῦ, μάτην δὲ σέ-
βονταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.
8 ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ κρατεῖτε τὴν παράδοσιν
τῶν ἀνθρώπων βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα
9 παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. Καὶ ἔλεγεν αὐτοῖς Κα-
λῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ ἵνα τὴν παράδοσιν ὑμῶν
10 τηρήσητε. Μωσῆς γὰρ εἶπεν Τίμα τὸν πατέρα σου καὶ τὴν
μητέρα σου καί Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ
11 τελευτάτω. ὑμεῖς δὲ λέγετε Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ
ἢ τῇ μητρί Κορβᾶν ὅ ἐστιν Δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς.
12 καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ
13 τῇ μητρί αὐτοῦ, ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ τῇ πα-
ραδόσει ὑμῶν ᾗ παρεδώκατε, καὶ παρόμοια τοιαῦτα πολλὰ
14 ποιεῖτε. Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔλεγεν
15 αὐτοῖς Ἀκούετέ μου πάντες καὶ συνίετε. οὐδέν ἐστιν ἔξ-
ωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται
αὐτόν κοινῶσαι ἀλλὰ τὰ ἐκπορευόμενά ἀπ αὐτοῦ, ἐκεῖνά
16 ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον. Εἴ τις ἔχει ὦτα ἀκούειν,
17 ἀκουέτω. Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου ἐπη-

---

v.6 ὁ[dnms] δέ[c] ἀποκρίνομαι[vpaonms] λέγω[viaa3s] αὐτός[rpdmp] ὅτι[c] καλῶς[bo] προφητεύω[viaa3s] Ἡσαΐας[nnms] περί[p] σύ[rpg-p] ὁ[dgmp] ὑποκριτής[ngmp] ὡς[bo] γράφω[vixp3s] οὗτος[rdnms] ὁ[dnms] λαός[nnms] ὁ[ddnp] χεῖλος[ndnp] ἐγώ[rpa-s] τιμάω[vipa3s] ὁ[dnfs] δέ[c] καρδία[nnfs] αὐτός[rpgmp] πόρρω[bo] ἀπέχω[vipa3s] ἀπό[p] ἐγώ[rpg-s]. **v.7** μάτην[bo] δέ[c] σέβω[vipn3p] ἐγώ[rpa-s] διδάσκω[vppanmp] διδασκαλία[nafp] ἔνταλμα[nanp] ἄνθρωπος[ngmp]. **v.8** ἀφίημι[vpaanmp] γάρ[c] ὁ[dafs] ἐντολή[nafs] ὁ[dgms] θεός[ngms] κρατέω[vipa2p] ὁ[dafs] παράδοσις[nafs] ὁ[dgmp] ἄνθρωπος[ngmp] βαπτισμός[namp] ξέστης[ngmp] καί[c] ποτήριον[ngnp] καί[c] ἄλλος[aanpn] παρόμοιος[aanpn] τοιοῦτος[rdanp] πολύς[aanpn] ποιέω[vipa2p]. **v.9** καί[c] λέγω[viia3s] αὐτός[rpdmp] καλῶς[bo] ἀθετέω[vipa2p] ὁ[dafs] ἐντολή[nafs] ὁ[dgms] θεός[ngms] ἵνα[c] ὁ[dafs] παράδοσις[nafs] σύ[rpg-p] τηρέω[vsaa2p]. **v.10** Μωϋσῆς[nnms] γάρ[c] λέγω[viaa3s] τιμάω[vdpa2s] ὁ[dams] πατήρ[nams] σύ[rpg-s] καί[c] ὁ[dafs] μήτηρ[nafs] σύ[rpg-s] καί[c] ὁ[dnms] κακολογέω[vppanms] πατήρ[nams] ἤ[xo] μήτηρ[nafs] θάνατος[ndms] τελευτάω[vdpa3s]. **v.11** σύ[rpn-p] δέ[c] λέγω[vipa2p] ἐάν[qo] λέγω[vsaa3s] ἄνθρωπος[nnms] ὁ[ddms] πατήρ[ndms] ἤ[xo] ὁ[ddfs] μήτηρ[ndfs] κορβᾶν[th] ὅς[rrnns] εἰμί[vipx3s] δῶρον[nnns] ὅς[rrans] ἐάν[qo] ἐκ[p] ἐγώ[rpg-s] ὠφελέω[vsap2s]. **v.12** καί[c] οὐκέτι[bo] ἀφίημι[vipa2p] αὐτός[rpams] οὐδείς[aansn] ποιέω[vnaa] ὁ[ddms] πατήρ[ndms] αὐτός[rpgms] ἤ[xo] ὁ[ddfs] μήτηρ[ndfs] αὐτός[rpgms]. **v.13** ἀκυρόω[vppanmp] ὁ[dams] λόγος[nams] ὁ[dgms] θεός[ngms] ὁ[ddfs] παράδοσις[ndfs] σύ[rpg-p] ὅς[rrdfs] παραδίδωμι[viaa2p] καί[c] παρόμοιος[aanpn] τοιοῦτος[rdanp] πολύς[aanpn] ποιέω[vipa2p]. **v.14** καί[c] προσκαλέομαι[vpadnms] πᾶς[aamsn] ὁ[dams] ὄχλος[nams] λέγω[viia3s] αὐτός[rpdmp] ἀκούω[vdpa2p] ἐγώ[rpg-s] πᾶς[anmpn] καί[c] συνίημι[vdpa2p]. **v.15** οὐδείς[annsn] εἰμί[vipx3s] ἔξωθεν[bo] ὁ[dgms] ἄνθρωπος[ngms] εἰσπορεύομαι[vppnnns] εἰς[p] αὐτός[rpams] ὅς[rrnns] δύναμαι[vipn3s] αὐτός[rpams] κοινόω[vnaa] ἀλλά[c] ὁ[dnnp] ἐκπορεύομαι[vppnnnp] ἀπό[p] αὐτός[rpgms] ἐκεῖνος[rdnnp] εἰμί[vipx3s] ὁ[dnnp] κοινόω[vppannp] ὁ[dams] ἄνθρωπος[nams]. **v.16** εἰ[qo] τίς[rinms] ἔχω[vipa3s] οὖς[nanp] ἀκούω[vnpa] ἀκούω[vdpa3s].

ρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς. καὶ 18
λέγει αὐτοῖς Οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε οὐ νοεῖτε ὅτι
πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύνα-
ται αὐτὸν κοινῶσαι. ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν 19
καρδίαν ἀλλ εἰς τὴν κοιλίαν καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπο-
ρεύεται καθαρίζον πάντα τὰ βρώματα. ἔλεγεν δὲ ὅτι Τὸ 20
ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον ἐκεῖνο κοινοῖ τὸν ἄνθρω-
πον. ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ δια- 21
λογισμοὶ οἱ κακοὶ ἐκπορεύονται μοιχεῖαι, πορνεῖαι φόνοι.
κλοπαί πλεονεξίαι πονηρίαι δόλος ἀσέλγεια ὀφθαλμὸς πο- 22
νηρός βλασφημία ὑπερηφανία ἀφροσύνη, πάντα ταῦτα τὰ 23
πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον. καὶ 24
Ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶ-
νος. Καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελεν γνῶναι καὶ
οὐκ ἠδυνήθη λαθεῖν, ἀκούσασα γα῾ρ γυνὴ περὶ αὐτοῦ 25
ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον ἐλθοῦσα
προσέπεσεν πρὸς τοὺς πόδας αὐτοῦ, ἦν δὲ ἡ γυνὴ ῾Ελ- 26
ληνίς Συραφοινίκισσα τῷ γένει, καὶ ἠρώτα αὐτὸν ἵνα τὸ
δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. ὁ δὲ Ἰησοῦς εἶ- 27
πεν αὐτῇ Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα οὐ γάρ καλόν
ἐστιν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρί-

---

v.17 καί^{c} ὅτε^{bo} εἰσέρχομαι^{viaa3s} εἰς^{p} οἶκος^{nams} ἀπό^{p} ὁ^{dgms} ὄχλος^{ngms} ἐπερωτάω^{viia3p} αὐτός^{rpams} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} περί^{p} ὁ^{dgfs} παραβολή^{ngfs}. **v.18** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ ἀσύνετος^{anmpn} εἰμί^{vipx2p} οὐ^{xo} νοέω^{vipa2p} ὅτι^{c} πᾶς^{annsn} ὁ^{dnns} ἔξωθεν^{bo} εἰσπορεύομαι^{vppnnns} εἰς^{p} ὁ^{dams} ἄνθρωπος^{nams} οὐ^{xo} δύναμαι^{vipn3s} αὐτός^{rpams} κοινόω^{vnaa}. **v.19** ὅτι^{c} οὐ^{xo} εἰσπορεύομαι^{vipn3s} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dafs} καρδία^{nafs} ἀλλά^{c} εἰς^{p} ὁ^{dafs} κοιλία^{nafs} καί^{c} εἰς^{p} ὁ^{dams} ἀφεδρών^{nams} ἐκπορεύομαι^{vipn3s} καθαρίζω^{vppanns} πᾶς^{aanpn} ὁ^{danp} βρῶμα^{nanp}. **v.20** λέγω^{viia3s} δέ^{c} ὅτι^{c} ὁ^{dnns} ἐκ^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms} ἐκπορεύομαι^{vppnnns} ἐκεῖνος^{rdnns} κοινόω^{vipa3s} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.21** ἔσωθεν^{bo} γάρ^{c} ἐκ^{p} ὁ^{dgfs} καρδία^{ngfs} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} ὁ^{dnmp} διαλογισμός^{nnmp} ὁ^{dnmp} κακός^{anmpn} ἐκπορεύομαι^{vipn3p} μοιχεία^{nnfp} πορνεία^{nnfp} φόνος^{nnmp}. **v.22** κλοπή^{nnfp} πλεονεξία^{nnfp} πονηρία^{nnfp} δόλος^{nnms} ἀσέλγεια^{nnfs} ὀφθαλμός^{nnms} πονηρός^{anmsn} βλασφημία^{nnfs} ὑπερηφανία^{nnfs} ἀφροσύνη^{nnfs}. **v.23** πᾶς^{annpn} οὗτος^{rdnnp} ὁ^{dnnp} πονηρός^{annpn} ἔσωθεν^{bo} ἐκπορεύομαι^{vipn3s} καί^{c} κοινόω^{vipa3s} ὁ^{dams} ἄνθρωπος^{nams}. **v.24** καί^{c} ἐκεῖθεν^{bo} ἀνίστημι^{vpaanms} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{danp} μεθόριον^{nanp} Τύρος^{ngfs} καί^{c} Σιδών^{ngfs} καί^{c} εἰσέρχομαι^{vpaanms} εἰς^{p} οἰκία^{nafs} οὐδείς^{aamsn} θέλω^{viia3s} γινώσκω^{vnaa} καί^{c} οὐ^{xo} δύναμαι^{viao3s} λανθάνω^{vnaa}. **v.25** ἀκούω^{vpaanfs} γάρ^{c} γυνή^{nnfs} περί^{p} αὐτός^{rpgms} ὅς^{rrgfs} ἔχω^{viia3s} ὁ^{dnns} θυγάτριον^{nnns} αὐτός^{rpgfs} πνεῦμα^{nans} ἀκάθαρτος^{aansn} ἔρχομαι^{vpaanfs} προσπίπτω^{viaa3s} πρός^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms}. **v.26** εἰμί^{viix3s} δέ^{c} ὁ^{dnfs} γυνή^{nnfs} Ἑλληνίς^{nnfs} Συροφοινίκισσα^{nnfs} ὁ^{ddns} γένος^{ndns} καί^{c} ἐρωτάω^{viia3s} αὐτός^{rpams} ἵνα^{c} ὁ^{dans} δαιμόνιον^{nans} ἐκβάλλω^{vsaa3s} ἐκ^{p} ὁ^{dgfs} θυγάτηρ^{ngfs} αὐτός^{rpgfs}.

28 οις. ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ Ναὶ, Κύριε καὶ γὰρ
τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων
29 τῶν παιδίων. καὶ εἶπεν αὐτῇ Διὰ τοῦτον τὸν λόγον ὕπαγε
30 ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. καὶ ἀπελ-
θοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ δαιμόνιον ἐξεληλυθός
31 καὶ τὴν θυγατερα βεβλημένην ἐπὶ τὴς κλίνης. Καὶ πάλιν
ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου Καὶ Σιδῶνος ἦλθεν πρὸς τὴν
θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως.
32 καὶ φέρουσιν αὐτῷ κωφὸν μογγιλάλον καὶ παρακαλοῦσιν
33 αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ ἀπολαβόμενος αὐτὸν
ἀπὸ τοῦ ὄχλου κατ ἰδίαν ἔβαλεν τοὺς δακτύλους αὐτοῦ εἰς
34 τὰ ὦτα αὐτοῦ καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ. καὶ
ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξεν καὶ λέγει αὐτῷ Εφ-
35 φαθα ὅ ἐστιν Διανοίχθητι. καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ
αἱ ἀκοαί καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ καὶ ἐλάλει
36 ὀρθῶς. καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν, ὅσον δὲ
αὐτὸς αὐτοῖς διεστέλλετο μᾶλλον περισσότερον ἐκήρυσσον.
37 καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο λέγοντες Καλῶς πάντα πε-
ποίηκεν καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους

---

v.27 ὁ^{dnms} δὲ^{c} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} αὐτός^{rpdfs} ἀφίημι^{vdaa2s} πρῶτος^{bo} χορτάζω^{vnap} ὁ^{danp} τέκνον^{nanp} οὐ^{xo} γάρ^{c} καλός^{annsn} εἰμί^{vipx3s} λαμβάνω^{vnaa} ὁ^{dams} ἄρτος^{nams} ὁ^{dgnp} τέκνον^{ngnp} καί^{c} βάλλω^{vnaa} ὁ^{ddnp} κυνάριον^{ndnp}. **v.28** ὁ^{dnfs} δὲ^{c} ἀποκρίνομαι^{viad3s} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ναί^{xo} κύριος^{nvms} καί^{c} γάρ^{c} ὁ^{dnnp} κυνάριον^{nnnp} ὑποκάτω^{bo} ὁ^{dgfs} τράπεζα^{ngfs} ἐσθίω^{vipa3s} ἀπό^{p} ὁ^{dgnp} ψιχίον^{ngnp} ὁ^{dgnp} παιδίον^{ngnp}. **v.29** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdfs} διά^{p} οὗτος^{rdams} ὁ^{dams} λόγος^{nams} ὑπάγω^{vdpa2s} ἐξέρχομαι^{vixa3s} ὁ^{dnns} δαιμόνιον^{nnns} ἐκ^{p} ὁ^{dgfs} θυγάτηρ^{ngfs} σύ$^{rpg-s}$. **v.30** καί^{c} ἀπέρχομαι^{vpaanfs} εἰς^{p} ὁ^{dams} οἶκος^{nams} αὐτός^{rpgfs} εὑρίσκω^{viaa3s} ὁ^{dnns} δαιμόνιον^{nnns} ἐξέρχομαι^{vpxaans} καί^{c} ὁ^{dafs} θυγάτηρ^{nafs} βάλλω^{vpxpafs} ἐπί^{p} ὁ^{dgfs} κλίνη^{ngfs}. **v.31** καί^{c} πάλιν^{bo} ἐξέρχομαι^{vpaanms} ἐκ^{p} ὁ^{dgnp} ὅριον^{ngnp} Τύρος^{ngfs} καί^{c} Σιδών^{ngfs} ἔρχομαι^{viaa3s} πρός^{p} ὁ^{dafs} θάλασσα^{nafs} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ἀνά^{p} μέσος^{aansn} ὁ^{dgnp} ὅριον^{ngnp} Δεκάπολις^{ngfs}. **v.32** καί^{c} φέρω^{vipa3p} αὐτός^{rpdms} κωφός^{aamsn} μογιλάλος^{aamsn} καί^{c} παρακαλέω^{vipa3p} αὐτός^{rpams} ἵνα^{c} ἐπιτίθημι^{vsaa3s} αὐτός^{rpdms} ὁ^{dafs} χείρ^{nafs}. **v.33** καί^{c} ἀπολαμβάνω^{vpamnms} αὐτός^{rpams} ἀπό^{p} ὁ^{dgms} ὄχλος^{ngms} κατά^{p} ἴδιος^{aafsn} βάλλω^{viaa3s} ὁ^{damp} δάκτυλος^{namp} αὐτός^{rpgms} εἰς^{p} ὁ^{danp} οὖς^{nanp} αὐτός^{rpgms} καί^{c} πτύω^{vpaanms} ἅπτω^{viad3s} ὁ^{dgfs} γλῶσσα^{ngfs} αὐτός^{rpgms}. **v.34** καί^{c} ἀναβλέπω^{vpaanms} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} στενάζω^{viaa3s} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ἐφφαθά^{ta} ὅς^{rrnns} εἰμί^{vipx3s} διανοίγω^{vdap2s}. **v.35** καί^{c} εὐθέως^{bo} διανοίγω^{viap3p} αὐτός^{rpgms} ὁ^{dnfp} ἀκοή^{nnfp} καί^{c} λύω^{viap3s} ὁ^{dnms} δεσμός^{nnms} ὁ^{dgfs} γλῶσσα^{ngfs} αὐτός^{rpgms} καί^{c} λαλέω^{viia3s} ὀρθῶς^{bo}. **v.36** καί^{c} διαστέλλω^{viam3s} αὐτός^{rpdmp} ἵνα^{c} μηδείς^{admsn} λέγω^{vsaa3p} ὅσος^{rcans} δέ^{c} αὐτός^{rpnms} αὐτός^{rpdmp} διαστέλλω^{viim3s} μᾶλλον^{bo} περισσός^{aansc} κηρύσσω^{viia3p}.

λαλεῖν.

Ἐν ἐκείναις ταῖς ἡμέραις παμπολλοῦ ὄχλου ὄντος καὶ **8**
μὴ ἐχόντων τί φάγωσιν προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς
μαθητὰς αὐτοῦ λέγει αὐτοῖς. Σπλαγχνίζομαι ἐπὶ τὸν ὄ- 2
χλον ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχου-
σιν τί φάγωσιν, καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον 3
αὐτῶν ἐκλυθήσονται ἐν τῇ ὁδῷ, τινες γὰρ αὐτῶν μακρόθεν
ἥκουσιν. καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ Πό- 4
θεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ ἐρημίας.
καὶ ἐπηρώτα αὐτούς Πόσους ἔχετε ἄρτους οἱ δὲ εἶπον, Ἑ- 5
πτά. καὶ παρήγγειλεν τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς, 6
καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασεν καὶ ἐ-
δίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσιν καὶ παρέθηκαν
τῷ ὄχλῳ. καὶ εἶχον ἰχθύδια ὀλίγα, καὶ εὐλογήσας εἶπεν 7
παραθεῖναι καὶ αὐτὰ ἔφαγον δὲ, καὶ ἐχορτάσθησαν καὶ 8
ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. ἦσαν δὲ 9
οἱ φαγόντες ὡς τετρακισχίλιοι καὶ ἀπέλυσεν αὐτούς. Καὶ 10
εὐθὲως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλ-
θεν εἰς τὰ μέρη Δαλμανουθά. Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι 11
καὶ ἤρξαντο συζητεῖν αὐτῷ ζητοῦντες παρ αὐτοῦ σημεῖον

---

v.37 καί[c] ὑπερπερισσῶς[bo] ἐκπλήσσω[viip3p] λέγω[vppanmp] καλῶς[bo] πᾶς[aanpn] ποιέω[vixa3s] καί[c] ὁ[damp] κωφός[aampn] ποιέω[vipa3s] ἀκούω[vnpa] καί[c] ὁ[damp] ἄλαλος[aampn] λαλέω[vnpa]. **8. v.1** ἐν[p] ἐκεῖνος[rddfp] ὁ[ddfp] ἡμέρα[ndfp] πάμπολυς[agmsn] ὄχλος[ngms] εἰμί[vppxgms] καί[c] μή[xo] ἔχω[vppagmp] τίς[rqans] ἐσθίω[vsaa3p] προσκαλέομαι[vpadnms] ὁ[dnms] Ἰησοῦς[nnms] ὁ[damp] μαθητής[namp] αὐτός[rpgms] λέγω[vipa3s] αὐτός[rpdmp]. **v.2** σπλαγχνίζομαι[vipn1s] ἐπί[p] ὁ[dams] ὄχλος[nams] ὅτι[c] ἤδη[bo] ἡμέρα[nnfp] τρεῖς[nafp] προσμένω[vipa3p] ἐγώ[rpd-s] καί[c] οὐ[xo] ἔχω[vipa3p] τίς[rqans] ἐσθίω[vsaa3p]. **v.3** καί[c] ἐάν[qo] ἀπολύω[vsaa1s] αὐτός[rpamp] νῆστις[aampn] εἰς[p] οἶκος[nams] αὐτός[rpgmp] ἐκλύω[vifp3p] ἐν[p] ὁδός[ndfs] τι-σρινμπ γάρ[c] αὐτός[rpgmp] μακρόθεν[bo] ἀκούω[vipa3p]. **v.4** καί[c] ἀποκρίνομαι[viad3p] αὐτός[rpdms] ὁ[dnmp] μαθητής[nnmp] αὐτός[rpgms] πόθεν[bo] οὗτος[rdamp] δύναμαι[vifd3s] τι-σρινμσ ὧδε[bo] χορτάζω[vnaa] ἄρτος[ngmp] ἐπί[p] ἐρημία[ngfs]. **v.5** καί[c] ἐπερωτάω[viia3s] αὐτός[rpamp] πόσος[roamp] ἔχω[vipa2p] ἄρτος[namp] ὁ[dnmp] δέ[c] λέγω[viaa3p] ἑπτά[tn]. **v.6** καί[c] παραγγέλλω[viaa3s] ὁ[ddms] ὄχλος[ndms] ἀναπίπτω[vnaa] ἐπί[p] ὁ[dgfs] γῆ[ngfs] καί[c] λαμβάνω[vpaanms] ὁ[damp] ἑπτά[tn] ἄρτος[namp] εὐχαριστέω[vpaanms] κλάω[viaa3s] καί[c] δίδωμι[viia3s] ὁ[ddmp] μαθητής[ndmp] αὐτός[rpgms] ἵνα[c] παρατίθημι[vsaa3p] καί[c] παρατίθημι[viaa3p] ὁ[ddms] ὄχλος[ndms]. **v.7** καί[c] ἔχω[viia3p] ἰχθύδιον[nanp] ὀλίγος[aanpn] καί[c] εὐλογέω[vpaanms] λέγω[viaa3s] παρατίθημι[vnaa] καί[c] αὐτός[rpanp]. **v.8** ἐσθίω[viaa3p] δέ[c] καί[c] χορτάζω[viap3p] καί[c] αἴρω[viaa3p] περίσσευμα[nanp] κλάσμα[ngnp] ἑπτά[tn] σπυρίς[nafp]. **v.9** εἰμί[viix3p] δέ[c] ὁ[dnmp] ἐσθίω[vpaanmp] ὡς[bo] τετρακισχίλιοι[nnmp] καί[c] ἀπολύω[viaa3s] αὐτός[rpamp]. **v.10** καί[c] εὐθέως[bo] ἐμβαίνω[vpaanms] εἰς[p] ὁ[dans] πλοῖον[nans] μετά[p] ὁ[dgmp] μαθητής[ngmp] αὐτός[rpgms] ἔρχομαι[viaa3s] εἰς[p] ὁ[danp] μέρος[nanp] Δαλμανουθά[tp].

12 ἀπὸ τοῦ οὐρανοῦ πειράζοντες αὐτόν. καὶ ἀναστενάξας τῷ
πνεύματι αὐτοῦ λέγει Τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ· ἀ-
13 μὴν λέγω ὑμῖν εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. καὶ
ἀφεὶς αὐτοὺς ἐμβὰς πάλιν εἰς πλοῖον ἀπῆλθεν εἰς τὸ πέ-
14 ραν. Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους καὶ εἰ μὴ ἕνα ἄρτον
15 οὐκ εἶχον μεθ ἑαυτῶν ἐν τῷ πλοίῳ. καὶ διεστέλλετο αὐ-
τοῖς λέγων Ὁρᾶτε βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων
16 καὶ τῆς ζύμης Ἡρῴδου. καὶ διελογίζοντο πρὸς ἀλλήλους
17 λέγοντες, ὅτι Ἄρτους οὐκ ἔχομεν. καὶ γνοὺς ὁ Ἰησοῦς
λέγει αὐτοῖς Τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε οὔπω νο-
εῖτε οὐδὲ συνίετε ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν.
18 ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε καὶ ὦτα ἔχοντες οὐκ ἀκού-
19 ετε καὶ οὐ μνημονεύετε. ὅτε τοὺς πέντε ἄρτους ἔκλασα
εἰς τοὺς πεντακισχιλίους πόσους κοφίνους πλήρεις κλα-
20 σμάτων ἤρατε λέγουσιν αὐτῷ Δώδεκα. Ὅτε δὲ τοὺς ἑπτὰ
εἰς τοὺς τετρακισχιλίους πόσων σπυρίδων πληρώματα κλα-
21 σμάτων ἤρατε Οἱ δὲ εἶπον, Ἑπτά. καὶ ἔλεγεν αὐτοῖς Πῶς
22 οὐ συνίετε. Καὶ ἔρχεταί εἰς Βηθσαϊδάν καὶ φέρουσιν αὐτῷ
23 τυφλὸν καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται. καὶ ἐ-
πιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς

---

v.11 καί^{c} ἐξέρχομαι^{viaa3p} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} καί^{c} ἄρχω^{viad3p} συζητέω^{vnpa} αὐτός^{rpdms} ζητέω^{vppanmp} παρά^{p} αὐτός^{rpgms} σημεῖον^{nans} ἀπό^{p} ὁ^{dgms} οὐρανός^{ngms} πειράζω^{vppanmp} αὐτός^{rpams}. **v.12** καί^{c} ἀναστενάζω^{vpaanms} ὁ^{ddns} πνεῦμα^{ndns} αὐτός^{rpgms} λέγω^{vipa3s} τίς^{rqnns} ὁ^{dnfs} γενεά^{nnfs} οὗτος^{rdnfs} σημεῖον^{nans} ἐπιζητέω^{vipa3s} ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ εἰ^{qo} δίδωμι^{vifp3s} ὁ^{ddfs} γενεά^{ndfs} οὗτος^{rddfs} σημεῖον^{nans}. **v.13** καί^{c} ἀφίημι^{vpaanms} αὐτός^{rpamp} ἐμβαίνω^{vpaanms} πάλιν^{bo} εἰς^{p} πλοῖον^{nans} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dans} πέραν^{bo}. **v.14** καί^{c} ἐπιλανθάνομαι^{viad3p} λαμβάνω^{vnaa} ἄρτος^{namp} καί^{c} εἰ^{qo} μή^{xo} εἷς^{nams} ἄρτος^{nams} οὐ^{xo} ἔχω^{viia3p} μετά^{p} ἑαυτοῦ^{rxgmp} ἐν^{p} ὁ^{ddns} πλοῖον^{ndns}. **v.15** καί^{c} διαστέλλω^{viim3s} αὐτός^{rpdmp} λέγω^{vppanms} ὁράω^{vdpa2p} βλέπω^{vdpa2p} ἀπό^{p} ὁ^{dgfs} ζύμη^{ngfs} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} καί^{c} ὁ^{dgfs} ζύμη^{ngfs} Ἡρῴδης^{ngms}. **v.16** καί^{c} διαλογίζομαι^{viin3p} πρός^{p} ἀλλήλων^{reamp} λέγω^{vppanmp} ὅτι^{c} ἄρτος^{namp} οὐ^{xo} ἔχω^{vipa1p}. **v.17** καί^{c} γινώσκω^{vpaanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{vipa3s} αὐτός^{rpdmp} τίς^{rqans} διαλογίζομαι^{vipn2p} ὅτι^{c} ἄρτος^{namp} οὐ^{xo} ἔχω^{vipa2p} οὔπω^{bo} νοέω^{vipa2p} οὐδέ^{bo} συνίημι^{vipa2p} ἔτι^{bo} πωρόω^{vpxpafs} ἔχω^{vipa2p} ὁ^{dafs} καρδία^{nafs} σύ$^{rpg-p}$. **v.18** ὀφθαλμός^{namp} ἔχω^{vppanmp} οὐ^{xo} βλέπω^{vipa2p} καί^{c} οὖς^{nanp} ἔχω^{vppanmp} οὐ^{xo} ἀκούω^{vipa2p} καί^{c} οὐ^{xo} μνημονεύω^{vipa2p}. **v.19** ὅτε^{bo} ὁ^{damp} πέντε^{tn} ἄρτος^{namp} κλάω^{viaa1s} εἰς^{p} ὁ^{damp} πεντακισχίλιοι^{namp} πόσος^{roamp} κόφινος^{namp} πλήρης^{aampn} κλάσμα^{ngnp} αἴρω^{viaa2p} λέγω^{vipa3p} αὐτός^{rpdms} δώδεκα^{tn}. **v.20** ὅτε^{bo} δέ^{c} ὁ^{damp} ἑπτά^{tn} εἰς^{p} ὁ^{damp} τετρακισχίλιοι^{namp} πόσος^{rognp} σπυρίς^{ngfp} πλήρωμα^{nanp} κλάσμα^{ngnp} αἴρω^{viaa2p} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} ἑπτά^{tn}. **v.21** καί^{c} λέγω^{viia3s} αὐτός^{rpdmp} πῶς^{bo} ὅς^{xo} συνίημι^{vipa2p}. **v.22** καί^{c} ἔρχομαι^{vipn3s} εἰς^{p} Βηθσαϊδά^{tp} καί^{c} φέρω^{vipa3p} αὐτός^{rpdms} τυφλός^{aamsn} καί^{c} παρακαλέω^{vipa3p} αὐτός^{rpams} ἵνα^{c} αὐτός^{rpgms} ἅπτω^{vsam3s}.

κώμης καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ ἐπιθεὶς τὰς χεῖρας
αὐτῷ ἐπηρώτα αὐτόν Εἴ τι βλέπει. καὶ ἀναβλέψας ἔλεγεν 24
Βλέπω τοὺς ἀνθρώπους ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας.
εἶτα πάλιν ἐπέθηκεν τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ 25
καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι καὶ ἀποκατεστάθη καὶ ἐνέ-
βλεψεν τηλαυγῶς ἅπαντας. καὶ ἀπέστειλεν αὐτὸν εἰς [τὸν] 26
οἶκον αὐτοῦ λέγων Μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς Μηδὲ εἴ-
πῃς τινὶ ἐν τῇ κώμῃ. Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ 27
αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου, καὶ ἐν τῇ
ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς Τίνα με
λέγουσιν οἱ ἄνθρωποι εἶναι. οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην 28
τὸν βαπτιστήν καὶ ἄλλοι Ἠλίαν ἄλλοι δὲ ἕνα τῶν προφη-
τῶν. καὶ αὐτὸς λέγει αὐτοῖς Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι 29
τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστιν περὶ οὗ ἐγὼ εἶπον 30
Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν ὅτι
πρῶτός μου ἦν. κἀγὼ οὐκ ᾔδειν αὐτόν ἀλλ ἵνα φανερωθῇ 31
τῷ Ἰσραὴλ διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. Καὶ 32
ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι Τεθέαμαι τὸ πνεῦμα κα-
ταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ αὐτόν.
κἀγὼ οὐκ ᾔδειν αὐτόν ἀλλ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι 33
ἐκεῖνός μοι εἶπεν Ἐφ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ
μένον ἐπ αὐτόν οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.
κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ 34
θεοῦ. Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν 35

---

v.25 καί[c] ἐρωτάω[viaa3p] αὐτός[rpams] καί[c] λέγω[viaa3p] αὐτός[rpdms] τίς[rqnns] οὖν[c] βαπτίζω[vipa2s] εἰ[qo] σύ[rpn-s] οὐ[xo] εἰμί[vipx2s] ὁ[dnms] Χριστός[nnms] οὔτε[c] Ἠλίας[nnms] οὔτε[c] ὁ[dnms] προφήτης[nnms]. **v.26** ἀποκρίνομαι[viad3s] αὐτός[rpdmp] ὁ[dnms] Ἰωάννης[nnms] λέγω[vppanms] ἐγώ[rpn-s] βαπτίζω[vipa1s] ἐν[p] ὕδωρ[ndns] μέσος[anmsn] δέ[c] σύ[rpg-p] ἵστημι[vixa3s] ὅς[rrams] σύ[rpn-p] οὐ[xo] οἶδα[vixa2p]. **v.27** αὐτός[rpnms] εἰμί[vipx3s] ὁ[dnms] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vppnnms] ὅς[rrnms] ἔμπροσθεν[p] ἐγώ[rpg-s] γίνομαι[vixa3s] ὅς[rrgms] ἐγώ[rpn-s] οὐ[xo] εἰμί[vipx1s] ἄξιος[anmsn] ἵνα[c] λύω[vsaa1s] αὐτός[rpgms] ὁ[dams] ἱμάς[nams] ὁ[dgns] ὑπόδημα[ngns]. **v.28** οὗτος[rdnnp] ἐν[p] Βηθανία[ndfs] γίνομαι[viad3s] πέραν[bo] ὁ[dgms] Ἰορδάνης[ngms] ὅπου[bo] εἰμί[viix3s] Ἰωάννης[nnms] βαπτίζω[vppanms]. **v.29** ὁ[ddfs] ἐπαύριον[bo] βλέπω[vipa3s] ὁ[dnms] Ἰωάννης[nnms] ὁ[dams] Ἰησοῦς[nams] ἔρχομαι[vppnams] πρός[p] αὐτός[rpams] καί[c] λέγω[vipa3s] ἴδε[i] ὁ[dnms] ἀμνός[nnms] ὁ[dgms] θεός[ngms] ὁ[dnms] αἴρω[vppanms] ὁ[dafs] ἁμαρτία[nafs] ὁ[dgms] κόσμος[ngms]. **v.30** οὗτος[rdnms] εἰμί[vipx3s] περί[p] ὅς[rrgms] ἐγώ[rpn-s] λέγω[viaa1s] ὀπίσω[bo] ἐγώ[rpg-s] ἔρχομαι[vipn3s] ἀνήρ[nnms] ὅς[rrnms] ἔμπροσθεν[p] ἐγώ[rpg-s] γίνομαι[vixa3s] ὅτι[c] πρῶτος[anmsn] ἐγώ[rpg-s] εἰμί[viix3s]. **v.31** κἀγώ[rpn-s] οὐ[xo] οἶδα[viya1s] αὐτός[rpams] ἀλλά[c] ἵνα[c] φανερόω[vsap3s] ὁ[ddms] Ἰσραήλ[tp] διά[p] οὗτος[rdans] ἔρχομαι[viaa1s] ἐγώ[rpn-s] ἐν[p] ὁ[ddns] ὕδωρ[ndns] βαπτίζω[vppanms]. **v.32** καί[c] μαρτυρέω[viaa3s] Ἰωάννης[nnms] λέγω[vppanms] ὅτι[c] θεάομαι[vixn1s] ὁ[dans] πνεῦμα[nans] καταβαίνω[vppaans] ὡσεί[bo] περιστερά[nafs] ἐκ[p] οὐρανός[ngms] καί[c] μένω[viaa3s] ἐπί[p] αὐτός[rpams]. **v.33** κἀγώ[rpn-s] οὐ[xo] οἶδα[viya1s] αὐτός[rpams] ἀλλά[c] ὁ[dnms] πέμπω[vpaanms] ἐγώ[rpa-s] βαπτίζω[vnpa] ἐν[p] ὕδωρ[ndns] ἐκεῖνος[rdnms] ἐγώ[rpd-s] λέγω[viaa3s] ἐπί[p] ὅς[rrams] ἄν[xo] ὁράω[vsaa2s] ὁ[dans] πνεῦμα[nans] καταβαίνω[vppaans] καί[c] μένω[vppaans] ἐπί[p] αὐτός[rpams] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] βαπτίζω[vppanms] ἐν[p] πνεῦμα[ndns] ἅγιος[adnsn]. **v.34** κἀγώ[rpn-s] ὁράω[vixa1s] καί[c] μαρτυρέω[vixa1s] ὅτι[c] οὗτος[rdnms] εἰμί[vipx3s] ὁ[dnms] υἱός[nnms] ὁ[dgms] θεός[ngms].

36 μαθητῶν αὐτοῦ δύο. καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι
37 λέγει Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. καὶ ἤκουσαν αὐτοῦ οἱ δύο
38 μαθηταὶ λαλοῦντος καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. στραφεὶς
δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας λέγει
αὐτοῖς Τί ζητεῖτε οἱ δὲ εἶπον αὐτῷ Ῥαββί ὃ λέγεται ἑρμη-
39 νευόμενον, Διδάσκαλε ποῦ μένεις. λέγει αὐτοῖς Ἔρχεσθε
καὶ ἴδετε. ἦλθον καὶ εἶδον ποῦ μένει καὶ παρ αὐτῷ ἔμειναν
40 τὴν ἡμέραν ἐκείνην, ὥρα ἦν ὡς δεκάτη. Ἦν Ἀνδρέας ὁ
ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων
41 παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ, εὑρίσκει οὗτος
πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα καὶ λέγει αὐτῷ Εὑ-
ρήκαμεν τὸν Μεσίαν ὅ ἐστιν μεθερμηνευόμενον Χριστός,
42 καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν ἐμβλέψας [δὲ] αὐτῷ ὁ
Ἰησοῦς εἶπεν Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς
43 ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς
τὴν Γαλιλαίαν καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ [ὁ Ἰη-
44 σοῦς] Ἀκολούθει μοι. ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά ἐκ
45 τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. εὑρίσκει Φίλιππος τὸν
Ναθαναὴλ καὶ λέγει αὐτῷ Ὃν ἔγραψεν Μωσῆς ἐν τῷ νόμῳ
καὶ οἱ προφῆται εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν

---

v.35 ὁ^{ddfs} ἐπαύριον^{bo} πάλιν^{bo} ἵστημι^{viya3s} ὁ^{dnms} Ἰωάννης^{nnms} καί^{c} ἐκ^{p} ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms} δύο^{tn}. **v.36** καί^{c} ἐμβλέπω^{vpaanms} ὁ^{ddms} Ἰησοῦς^{ndms} περιπατέω^{vppadms} λέγω^{vipa3s} ἴδε^{i} ὁ^{dnms} ἀμνός^{nnms} ὁ^{dgms} θεός^{ngms}. **v.37** καί^{c} ἀκούω^{viaa3p} αὐτός^{rpgms} ὁ^{dnmp} δύο^{tn} μαθητής^{nnmp} λαλέω^{vppagms} καί^{c} ἀκολουθέω^{viaa3p} ὁ^{ddms} Ἰησοῦς^{ndms}. **v.38** στρέφω^{vpapnms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} θεάομαι^{vpadnms} αὐτός^{rpamp} ἀκολουθέω^{vppaamp} λέγω^{vipa3s} αὐτός^{rpdmp} τίς^{rqans} ζητέω^{vipa2p} ὁ^{dnmp} δέ^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ῥαββίth ὅς^{rrnns} λέγω^{vipp3s} ἑρμηνεύω^{vpppnns} διδάσκαλος^{nvms} ποῦ^{xo} μένω^{vipa2s}. **v.39** λέγω^{vipa3s} αὐτός^{rpdmp} ἔρχομαι^{vdpn2p} καί^{c} ὁράω^{vdaa2p} ἔρχομαι^{viaa3p} καί^{c} ὁράω^{viaa3p} ποῦ^{xo} μένω^{vipa3s} καί^{c} παρά^{p} αὐτός^{rpdms} μένω^{viaa3p} ὁ^{dafs} ἡμέρα^{nafs} ἐκεῖνος^{rdafs} ὥρα^{nnfs} εἰμί^{viix3s} ὡς^{bo} δέκατος^{nnfs}. **v.40** εἰμί^{viix3s} Ἀνδρέας^{nnms} ὁ^{dnms} ἀδελφός^{nnms} Σίμων^{ngms} Πέτρος^{ngms} εἷς^{nnms} ἐκ^{p} ὁ^{dgmp} δύο^{tn} ὁ^{dgmp} ἀκούω^{vpaagmp} παρά^{p} Ἰωάννης^{ngms} καί^{c} ἀκολουθέω^{vpaagmp} αὐτός^{rpdms}. **v.41** εὑρίσκω^{vipa3s} οὗτος^{rdnms} πρῶτος^{anmsn} ὁ^{dams} ἀδελφός^{nams} ὁ^{dams} ἴδιος^{aamsn} Σίμων^{nams} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} εὑρίσκω^{vixa1p} ὁ^{dams} Μεσσίας^{nams} ὅς^{rrnns} εἰμί^{vipx3s} μεθερμηνεύω^{vpppnns} Χριστός^{nnms}. **v.42** καί^{c} ἄγω^{viaa3s} αὐτός^{rpams} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} ἐμβλέπω^{vpaanms} δέ^{c} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} Σίμων^{nnms} ὁ^{dnms} υἱός^{nnms} Ἰωνᾶς^{ngms} σύ$^{rpn-s}$ καλέω^{vifp2s} Κηφᾶς^{nnms} ὅς^{rrnns} ἑρμηνεύω^{vipp3s} Πέτρος^{nnms}. **v.43** ὁ^{ddfs} ἐπαύριον^{bo} θέλω^{viaa3s} ἐξέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs} καί^{c} εὑρίσκω^{vipa3s} Φίλιππος^{nams} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀκολουθέω^{vdpa2s} ἐγώ$^{rpd-s}$. **v.44** εἰμί^{viix3s} δέ^{c} ὁ^{dnms} Φίλιππος^{nnms} ἀπό^{p} Βηθσαϊδά^{tp} ἐκ^{p} ὁ^{dgfs} πόλις^{ngfs} Ἀνδρέας^{ngms} καί^{c} Πέτρος^{ngms}.

ἀπὸ Ναζαρέτ. καὶ εἶπεν αὐτῷ Ναθαναήλ Ἐκ Ναζαρὲτ δύ- 46
ναταί τι ἀγαθὸν εἶναι λέγει αὐτῷ Φίλιππος Ἔρχου καὶ ἴδε.
εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ 47
λέγει περὶ αὐτοῦ Ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ
ἔστιν. λέγει αὐτῷ Ναθαναήλ Πόθεν με γινώσκεις ἀπεκρίθη 48
Ἰησοῦς καὶ εἶπεν αὐτῷ Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα
ὑπὸ τὴν συκῆν εἶδόν σε. ἀπεκρίθη Ναθαναήλ καὶ λέγει 49
αὐτῷ Ῥαββί σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσρα-
ήλ. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ Ὅτι εἶπόν σοι εἶδόν 50
σε ὑποκάτω τῆς συκῆς πιστεύεις μείζω τούτων ὄψει. καὶ 51
λέγει αὐτῷ Ἀμὴν ἀμὴν λέγω ὑμῖν ἀ᾽π ἄρτι ὄψεσθε τὸν οὐ-
ρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας
καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανὰ τῆς Γα- **2**
λιλαίας καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ, ἐκλήθη δὲ καὶ ὁ 2
Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. καὶ ὑστερή- 3
σαντος οἴνου λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν Οἶνον
οὐκ ἔχουσιν. λέγει αὐτῇ ὁ Ἰησοῦς Τί ἐμοὶ καὶ σοί γύναι 4
οὔπω ἥκει ἡ ὥρα μου. λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις 5

---

v.45 εὑρίσκω^{vipa3s} Φίλιππος^{nnms} ὁ^{dams} Ναθαναήλ^{tp} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ὅς^{rrams} γράφω^{viaa3s} Μωϋσῆς^{nnms} ἐν^{p} ὁ^{ddms} νόμος^{ndms} καί^{c} ὁ^{dnmp} προφήτης^{nnmp} εὑρίσκω^{vixa1p} Ἰησοῦς^{nams} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} Ἰωσήφ^{tp} ὁ^{dams} ἀπό^{p} Ναζαρά^{tp}. **v.46** καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} Ναθαναήλ^{tp} ἐκ^{p} Ναζαρά^{tp} δύναμαι^{vipn3s} τι-σρχννσ ἀγαθός^{annsn} εἰμί^{vnpx} λέγω^{vipa3s} αὐτός^{rpdms} Φίλιππος^{nnms} ἔρχομαι^{vipn2s} καί^{c} ὁράω^{vdaa2s}. **v.47** ὁράω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dams} Ναθαναήλ^{tp} ἔρχομαι^{vppnams} πρός^{p} αὐτός^{rpams} καί^{c} λέγω^{vipa3s} περί^{p} αὐτός^{rpgms} ἴδε^{i} ἀληθῶς^{bo} Ἰσραηλίτης^{nnms} ἐν^{p} ὅς^{rrdms} δόλος^{nnms} οὐ^{xo} εἰμί^{vipx3s}. **v.48** λέγω^{vipa3s} αὐτός^{rpdms} Ναθαναήλ^{tp} πόθεν^{bo} ἐγώ$^{rpa-s}$ γινώσκω^{vipa2s} ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} πρό^{p} ὁ^{dgms} σύ$^{rpa-s}$ Φίλιππος^{nams} φωνέω^{vnaa} εἰμί^{vppxams} ὑπό^{p} ὁ^{dafs} συκῆ^{nafs} ὁράω^{viaa1s} σύ$^{rpa-s}$. **v.49** ἀποκρίνομαι^{viad3s} Ναθαναήλ^{tp} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ῥαββίth σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgms} Ἰσραήλ^{tp}. **v.50** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὅτι^{c} λέγω^{viaa1s} σύ$^{rpd-s}$ ὁράω^{viaa1s} σύ$^{rpa-s}$ ὑποκάτω^{bo} ὁ^{dgfs} συκῆ^{ngfs} πιστεύω^{vipa2s} μέγας^{aanpc} οὗτος^{rdgnp} ὀπτάνομαι^{vifd2s}. **v.51** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἀπό^{p} ἄρτι^{bo} ὁράω^{vifd2p} ὁ^{dams} οὐρανός^{nams} ἀνοίγω^{vpxpams} καί^{c} ὁ^{damp} ἄγγελος^{namp} ὁ^{dgms} θεός^{ngms} ἀναβαίνω^{vppaamp} καί^{c} καταβαίνω^{vppaamp} ἐπί^{p} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **2. v.1** καί^{c} ὁ^{ddfs} ἡμέρα^{ndfs} ὁ^{ddfs} τρίτος^{adfsn} γάμος^{nnms} γίνομαι^{viad3s} ἐν^{p} Κανά^{tp} ὁ^{dgfs} Γαλιλαία^{ngfs} καί^{c} εἰμί^{viix3s} ὁ^{dnfs} μήτηρ^{nnfs} ὁ^{dgms} Ἰησοῦς^{ngms} ἐκεῖ^{bo}. **v.2** καλέω^{viap3s} δέ^{c} καί^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dams} γάμος^{nams}. **v.3** καί^{c} ὑστερέω^{vpaagms} οἶνος^{ngms} λέγω^{vipa3s} ὁ^{dnfs} μήτηρ^{nnfs} ὁ^{dgms} Ἰησοῦς^{ngms} πρός^{p} αὐτός^{rpams} οἶνος^{nams} οὐ^{xo} ἔχω^{vipa3p}. **v.4** λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} τίς^{rqnns} ἐγώ$^{rpd-s}$ καί^{c} σύ$^{rpd-s}$ γυνή^{nvfs} οὔπω^{bo} ἥκω^{vipa3s} ὁ^{dnfs} ὥρα^{nnfs} ἐγώ$^{rpg-s}$.

6 Ὅ τι ἂν λέγῃ ὑμῖν ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι
ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων χωροῦσαι
7 ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. λέγει αὐτοῖς ὁ Ἰησοῦς Γεμίσατε
8 τὰς ὑδρίας ὕδατος καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. καὶ λέγει
αὐτοῖς Ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ, καὶ ἤ-
9 νεγκαν. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γε-
γενημένον καὶ οὐκ ᾔδει πόθεν ἐστίν οἱ δὲ διάκονοι ᾔδεισαν
οἱ ἠντληκότες τὸ ὕδωρ φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος.
10 καὶ λέγει αὐτῷ Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τί-
θησιν καὶ ὅταν μεθυσθῶσιν τότε τὸν ἐλάσσω, σὺ τετήρηκας
11 τὸν καλὸν οἶνον ἕως ἄρτι. Ταύτην ἐποίησεν τὴν ἀρχὴν
τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανὰ τῆς Γαλιλαίας καὶ ἐφανέρω-
σεν τὴν δόξαν αὐτοῦ καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ
12 αὐτοῦ. Μετὰ τοῦτο κατέβη εἰς Καπερναούμ, αὐτὸς καὶ
ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ μαθηταὶ αὐ-
13 τοῦ καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. Καὶ ἐγγὺς ἦν τὸ
πάσχα τῶν Ἰουδαίων καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς.
14 καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ
15 περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους. καὶ ποιή-
σας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ

---

v.5 λέγω^{vipa3s} ὁ^{dnfs} μήτηρ^{nnfs} αὐτός^{rpgms} ὁ^{ddmp} διάκονος^{ndmp} ὅς^{rrans} τι-σριανσ ἄν^{xo} λέγω^{vspa3s} σύ$^{rpd-p}$ ποιέω^{vdaa2p}. **v.6** εἰμί^{viix3p} δέ^{c} ἐκεῖ^{bo} ὑδρία^{nnfp} λίθινος^{anfpn} ἕξ^{tn} κεῖμαι^{vppnnfp} κατά^{p} ὁ^{dams} καθαρισμός^{nams} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} χωρέω^{vppanfp} ἀνά^{p} μετρητής^{namp} δύο^{tn} ἤ^{xo} τρεῖς^{namp}. **v.7** λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} γεμίζω^{vdaa2p} ὁ^{dafp} ὑδρία^{nafp} ὕδωρ^{ngns} καί^{c} γεμίζω^{viaa3p} αὐτός^{rpafp} ἕως^{c} ἄνω^{bo}. **v.8** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdmp} ἀντλέω^{vdaa2p} νῦν^{bo} καί^{c} φέρω^{vdpa2p} ὁ^{ddms} ἀρχιτρίκλινος^{ndms} καί^{c} φέρω^{viaa3p}. **v.9** ὡς^{bo} δέ^{c} γεύομαι^{viad3s} ὁ^{dnms} ἀρχιτρίκλινος^{nnms} ὁ^{dans} ὕδωρ^{nans} οἶνος^{nams} γίνομαι^{vpxpans} καί^{c} οὐ^{xo} οἶδα^{viya3s} πόθεν^{bo} εἰμί^{vipx3s} ὁ^{dnmp} δέ^{c} διάκονος^{nnmp} οἶδα^{viya3p} ὁ^{dnmp} ἀντλέω^{vpxanmp} ὁ^{dans} ὕδωρ^{nans} φωνέω^{vipa3s} ὁ^{dams} νυμφίος^{nams} ὁ^{dnms} ἀρχιτρίκλινος^{nnms}. **v.10** καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} πᾶς^{anmsn} ἄνθρωπος^{nnms} πρῶτος^{bo} ὁ^{dams} καλός^{aamsn} οἶνος^{nams} τίθημι^{vipa3s} καί^{c} ὅταν^{c} μεθύσκω^{vsap3p} τότε^{bo} ὁ^{dams} ἐλάσσων^{aamsc} σύ$^{rpn-s}$ τηρέω^{vixa2s} ὁ^{dams} καλός^{aamsn} οἶνος^{nams} ἕως^{c} ἄρτι^{bo}. **v.11** οὗτος^{rdafs} ποιέω^{viaa3s} ὁ^{dafs} ἀρχή^{nafs} ὁ^{dgnp} σημεῖον^{ngnp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐν^{p} Κανά^{tp} ὁ^{dgfs} Γαλιλαία^{ngfs} καί^{c} φανερόω^{viaa3s} ὁ^{dafs} δόξα^{nafs} αὐτός^{rpgms} καί^{c} πιστεύω^{viaa3p} εἰς^{p} αὐτός^{rpams} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.12** μετά^{p} οὗτος^{rdans} καταβαίνω^{viaa3s} εἰς^{p} Καπερναούμ^{tp} αὐτός^{rpnms} καί^{c} ὁ^{dnfs} μήτηρ^{nnfs} αὐτός^{rpgms} καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} αὐτός^{rpgms} καί^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} καί^{c} ἐκεῖ^{bo} μένω^{viaa3p} οὐ^{xo} πολύς^{aafpn} ἡμέρα^{nafp}. **v.13** καί^{c} ἐγγύς^{bo} εἰμί^{viix3s} ὁ^{dnns} πάσχα^{ta} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} καί^{c} ἀναβαίνω^{viaa3s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.14** καί^{c} εὑρίσκω^{viaa3s} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} ὁ^{damp} πωλέω^{vppaamp} βοῦς^{namp} καί^{c} πρόβατον^{nanp} καί^{c} περιστερά^{nafp} καί^{c} ὁ^{damp} κερματιστής^{namp} κάθημαι^{vppnamp}.

τά τε πρόβατα καὶ τοὺς βόας καὶ τῶν κολλυβιστῶν ἐξέχεεν
τὸ κέρμα καὶ τὰς τραπέζας ἀνέστρεψεν. καὶ τοῖς τὰς πε- 16
ριστερὰς πωλοῦσιν εἶπεν Ἄρατε ταῦτα ἐντεῦθεν μὴ ποιεῖτε
τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου. Ἐμνήσθησαν 17
δὲ οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν Ὁ ζῆλος τοῦ
οἴκου σου καταφάγεταί με. ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι 18
καὶ εἶπον αὐτῷ Τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς.
ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Λύσατε τὸν ναὸν τοῦτον 19
καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἶπον οὖν οἱ Ἰουδαῖοι 20
τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος καὶ
σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν. ἐκεῖνος δὲ ἔλεγεν περὶ 21
τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν 22
ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν καὶ ἐπί-
στευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. Ὡς δὲ 23
ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ πολλοὶ ἐ-
πίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ θεωροῦντες αὐτοῦ τὰ σημεῖα
ἃ ἐποίει, αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς 24
διὰ τὸ αὐτὸν γινώσκειν πάντας. καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα 25
τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου, αὐτὸς γὰρ ἐγίνωσκεν τί

---

v.15 καί^{c} ποιέω^{vpaanms} φραγέλλιον^{nans} ἐκ^{p} σχοινίον^{ngnp} πᾶς^{aampn} ἐκβάλλω^{viaa3s} ἐκ^{p} ὁ^{dgns} ἱερόν^{ngns} ὁ^{danp} τέ^{xo} πρόβατον^{nanp} καί^{c} ὁ^{damp} βοῦς^{namp} καί^{c} ὁ^{dgmp} κολλυβιστής^{ngmp} ἐκχέω^{viaa3s} ὁ^{dnns} κέρμα^{nnns} καί^{c} ὁ^{dafp} τράπεζα^{nafp} ἀναστρέφω^{viaa3s}. **v.16** καί^{c} ὁ^{ddmp} ὁ^{dafp} περιστερά^{nafp} πωλέω^{vppadmp} λέγω^{viaa3s} αἴρω^{vdaa2p} οὗτος^{rdanp} ἐντεῦθεν^{bo} μή^{xo} ποιέω^{vdpa2p} ὁ^{dams} οἶκος^{nams} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$ οἶκος^{nams} ἐμπόριον^{ngns}. **v.17** μιμνήσκομαι^{viap3p} δέ^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ὅτι^{c} γράφω^{vpxpnns} εἰμί^{vipx3s} ὁ^{dnms} ζῆλος^{nnms} ὁ^{dgms} οἶκος^{ngms} σύ$^{rpg-s}$ κατεσθίω^{vifd3s} ἐγώ$^{rpa-s}$. **v.18** ἀποκρίνομαι^{viad3p} οὖν^{c} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} καί^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} τίς^{rqans} σημεῖον^{nans} δείκνυμι^{vipa2s} ἐγώ$^{rpd-p}$ ὅτι^{c} οὗτος^{rdanp} ποιέω^{vipa2s}. **v.19** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} λύω^{vdaa2p} ὁ^{dams} ναός^{nams} οὗτος^{rdams} καί^{c} ἐν^{p} τρεῖς^{ndfp} ἡμέρα^{ndfp} ἐγείρω^{vifa1s} αὐτός^{rpams}. **v.20** λέγω^{viaa3p} οὖν^{c} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} τεσσεράκοντα^{tn} καί^{c} ἓξ^{tn} ἔτος^{ndnp} οἰκοδομέω^{viap3s} ὁ^{dnms} ναός^{nnms} οὗτος^{rdnms} καί^{c} σύ$^{rpn-s}$ ἐν^{p} τρεῖς^{ndfp} ἡμέρα^{ndfp} ἐγείρω^{vifa2s} αὐτός^{rpams}. **v.21** ἐκεῖνος^{rdnms} δέ^{c} λέγω^{viia3s} περί^{p} ὁ^{dgms} ναός^{ngms} ὁ^{dgns} σῶμα^{ngns} αὐτός^{rpgms}. **v.22** ὅτε^{bo} οὖν^{c} ἐγείρω^{viap3s} ἐκ^{p} νεκρός^{agmpn} μιμνήσκομαι^{viap3p} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ὅτι^{c} οὗτος^{rdans} λέγω^{viia3s} καί^{c} πιστεύω^{viaa3p} ὁ^{ddfs} γραφή^{ndfs} καί^{c} ὁ^{ddms} λόγος^{ndms} ὅς^{rrdms} λέγω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.23** ὡς^{bo} δέ^{c} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddnp} Ἱεροσόλυμα^{ndnp} ἐν^{p} ὁ^{ddms} πάσχα^{ta} ἐν^{p} ὁ^{ddfs} ἑορτή^{ndfs} πολύς^{anmpn} πιστεύω^{viaa3p} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} αὐτός^{rpgms} θεωρέω^{vppanmp} αὐτός^{rpgms} ὁ^{danp} σημεῖον^{nanp} ὅς^{rranp} ποιέω^{viia3s}. **v.24** αὐτός^{rpnms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} οὐ^{xo} πιστεύω^{viia3s} ἑαυτοῦ^{rxams} αὐτός^{rpdmp} διά^{p} ὁ^{dans} αὐτός^{rpams} γινώσκω^{vnpa} πᾶς^{aampn}.

ἦν ἐν τῷ ἀνθρώπῳ.

3 Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων Νικόδημος ὄνομα
2 αὐτῷ ἄρχων τῶν Ἰουδαίων, οὗτος ἦλθεν πρὸς αὐτὸν νυκτὸς
καὶ εἶπεν αὐτῷ Ῥαββί οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας δι-
δάσκαλος, οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ
3 ποιεῖς ἐὰν μὴ ᾖ ὁ θεὸς μετ αὐτοῦ. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ
εἶπεν αὐτῷ Ἀμὴν ἀμὴν λέγω σοι ἐὰν μή τις γεννηθῇ ἄνωθεν
4 οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. λέγει πρὸς αὐ-
τὸν ὁ Νικόδημος Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων
ὢν μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον
5 εἰσελθεῖν καὶ γεννηθῆναι. ἀπεκρίθη Ἰησοῦς Ἀμὴν ἀμὴν
λέγω σοι ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος οὐ
6 δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. τὸ γεγεννη-
μένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν καὶ τὸ γεγεννημένον ἐκ τοῦ
7 πνεύματος πνεῦμά ἐστιν. μὴ θαυμάσῃς ὅτι εἶπόν σοι Δεῖ
8 ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα ὅπου θέλει πνεῖ καὶ
τὴν φωνὴν αὐτοῦ ἀκούεις ἀλλ οὐκ οἶδας πόθεν ἔρχεται καὶ
ποῦ ὑπάγει, οὕτως ἐστὶν πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύ-
9 ματος. ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ Πῶς δύναται
10 ταῦτα γενέσθαι. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ Σὺ εἶ

---

v.25 καί^{c} ὅτι^{c} οὐ^{xo} χρεία^{nafs} ἔχω^{viia3s} ἵνα^{c} τι-σρινμσ μαρτυρέω^{vsaa3s} περί^{p} ὁ^{dgms} ἄνθρωπος^{ngms} αὐτός^{rpnms} γάρ^{c} γινώσκω^{viia3s} τίς^{rqnns} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddms} ἄνθρωπος^{ndms}. **3. v.1** εἰμί^{viix3s} δέ^{c} ἄνθρωπος^{nnms} ἐκ^{p} ὁ^{dgmp} Φαρισαῖος^{ngmp} Νικόδημος^{nnms} ὄνομα^{nnns} αὐτός^{rpdms} ἄρχων^{nnms} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn}. **v.2** οὗτος^{rdnms} ἔρχομαι^{viaa3s} πρός^{p} αὐτός^{rpams} νύξ^{ngfs} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ῥαββίth οἶδα^{vixa1p} ὅτι^{c} ἀπό^{p} θεός^{ngms} ἔρχομαι^{vixa2s} διδάσκαλος^{nnms} οὐδείς^{anfsn} γάρ^{c} οὗτος^{rdanp} ὁ^{danp} σημεῖον^{nanp} δύναμαι^{vipn3s} ποιέω^{vnpa} ὅς^{rranp} σύ$^{rpn-s}$ ποιέω^{vipa2s} ἐάν^{qo} μή^{xo} εἰμί^{vspx3s} ὁ^{dnms} θεός^{nnms} μετά^{p} αὐτός^{rpgms}. **v.3** ἀποκρίνομαι^{viad3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-s}$ ἐάν^{qo} μή^{xo} τι-σρινμσ γεννάω^{vsap3s} ἄνωθεν^{bo} οὐ^{xo} δύναμαι^{vipn3s} ὁράω^{vnaa} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.4** λέγω^{vipa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnms} Νικόδημος^{nnms} πῶς^{bo} δύναμαι^{vipn3s} ἄνθρωπος^{nnms} γεννάω^{vnap} γέρων^{nnms} εἰμί^{vppxnms} μή^{xo} δύναμαι^{vipn3s} εἰς^{p} ὁ^{dafs} κοιλία^{nafs} ὁ^{dgfs} μήτηρ^{ngfs} αὐτός^{rpgms} δεύτερος^{bo} εἰσέρχομαι^{vnaa} καί^{c} γεννάω^{vnap}. **v.5** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-s}$ ἐάν^{qo} μή^{xo} τι-σρινμσ γεννάω^{vsap3s} ἐκ^{p} ὕδωρ^{ngns} καί^{c} πνεῦμα^{ngns} οὐ^{xo} δύναμαι^{vipn3s} εἰσέρχομαι^{vnaa} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.6** ὁ^{dnns} γεννάω^{vpxpnns} ἐκ^{p} ὁ^{dgfs} σάρξ^{ngfs} σάρξ^{nnfs} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnns} γεννάω^{vpxpnns} ἐκ^{p} ὁ^{dgns} πνεῦμα^{ngns} πνεῦμα^{nnns} εἰμί^{vipx3s}. **v.7** μή^{xo} θαυμάζω^{vsaa2s} ὅτι^{c} λέγω^{viaa1s} σύ$^{rpd-s}$ δεῖ^{vipq3s} σύ$^{rpa-p}$ γεννάω^{vnap} ἄνωθεν^{bo}. **v.8** ὁ^{dnns} πνεῦμα^{nnns} ὅπου^{bo} θέλω^{vipa3s} πνέω^{vipa3s} καί^{c} ὁ^{dafs} φωνή^{nafs} αὐτός^{rpgms} ἀκούω^{vipa2s} ἀλλά^{c} οὐ^{xo} οἶδα^{vixa2s} πόθεν^{bo} ἔρχομαι^{vipn3s} καί^{c} ποῦ^{xo} ὑπάγω^{vipa3s} οὕτω^{bo} εἰμί^{vipx3s} πᾶς^{anmsn} ὁ^{dnms} γεννάω^{vpxpnms} ἐκ^{p} ὁ^{dgns} πνεῦμα^{ngns}. **v.9** ἀποκρίνομαι^{viad3s} Νικόδημος^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} πῶς^{bo} δύναμαι^{vipn3s} οὗτος^{rdnnp} γίνομαι^{vnad}.

ὁ διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις. ἀμὴν 11
ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν
μαρτυροῦμεν καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. εἰ 12
τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε πῶς ἐὰν εἴπω ὑ-
μῖν τὰ ἐπουράνια πιστεύσετε. καὶ οὐδεὶς ἀναβέβηκεν εἰς 13
τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς ὁ υἱὸς τοῦ
ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. καὶ καθὼς Μωσῆς ὕψω- 14
σεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου. ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, 15
ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν 16
κόσμον ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ἵνα πᾶς
ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ ἔχῃ ζωὴν αἰώνιον.
οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον 17
ἵνα κρίνῃ τὸν κόσμον ἀλλ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ.
ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη 18
κέκριται ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς
υἱοῦ τοῦ θεοῦ. αὕτη δέ ἐστιν ἡ κρίσις ὅτι τὸ φῶς ἐλήλυθεν 19
εἰς τὸν κόσμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκό-
τος ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ 20
φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς

---

v.10 ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} διδάσκαλος^{nnms} ὁ^{dgms} Ἰσραήλ^{tp} καί^{c} οὗτος^{rdanp} οὐ^{xo} γινώσκω^{vipa2s}. **v.11** ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-s}$ ὅτι^{c} ὅς^{rrans} οἶδα^{vixa1p} λαλέω^{vipa1p} καί^{c} ὅς^{rrans} ὁράω^{vixa1p} μαρτυρέω^{vipa1p} καί^{c} ὁ^{dafs} μαρτυρία^{nafs} ἐγώ$^{rpg-p}$ οὐ^{xo} λαμβάνω^{vipa2p}. **v.12** εἰ^{qo} ὁ^{danp} ἐπίγειος^{aanpn} λέγω^{viaa1s} σύ$^{rpd-p}$ καί^{c} οὐ^{xo} πιστεύω^{vipa2p} πῶς^{bo} ἐάν^{qo} λέγω^{vsaa1s} σύ$^{rpd-p}$ ὁ^{danp} ἐπουράνιος^{aanpn} πιστεύω^{vifa2p}. **v.13** καί^{c} οὐδείς^{anfsn} ἀναβαίνω^{vixa3s} εἰς^{p} ὁ^{dams} οὐρανός^{nams} εἰ^{qo} μή^{xo} ὁ^{dnms} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} καταβαίνω^{vpaanms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} ὁ^{dnms} εἰμί^{vppxnms} ἐν^{p} ὁ^{ddms} οὐρανός^{ndms}. **v.14** καί^{c} καθώς^{bo} Μωϋσῆς^{nnms} ὑψόω^{viaa3s} ὁ^{dams} ὄφις^{nams} ἐν^{p} ὁ^{ddfs} ἔρημος^{adfsn} οὕτω^{bo} ὑψόω^{vnap} δεῖ^{vipq3s} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **v.15** ἵνα^{c} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} αὐτός^{rpams} μή^{xo} ἀπόλλυμι^{vsam3s} ἀλλά^{c} ἔχω^{vspa3s} ζωή^{nafs} αἰώνιος^{aafsn}. **v.16** οὕτω^{bo} γάρ^{c} ἀγαπάω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} κόσμος^{nams} ὥστε^{c} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} ὁ^{dams} μονογενής^{aamsn} δίδωμι^{viaa3s} ἵνα^{c} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} αὐτός^{rpams} μή^{xo} ἀπόλλυμι^{vsam3s} ἀλλά^{c} ἔχω^{vspa3s} ζωή^{nafs} αἰώνιος^{aafsn}. **v.17** οὐ^{xo} γάρ^{c} ἀποστέλλω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ἵνα^{c} κρίνω^{vspa3s} ὁ^{dams} κόσμος^{nams} ἀλλά^{c} ἵνα^{c} σῴζω^{vsap3s} ὁ^{dnms} κόσμος^{nnms} διά^{p} αὐτός^{rpgms}. **v.18** ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} αὐτός^{rpams} οὐ^{xo} κρίνω^{vipp3s} ὁ^{dnms} δέ^{c} μή^{xo} πιστεύω^{vppanms} ἤδη^{bo} κρίνω^{vixp3s} ὅτι^{c} μή^{xo} πιστεύω^{vixa3s} εἰς^{p} ὁ^{dans} ὄνομα^{nans} ὁ^{dgms} μονογενής^{agmsn} υἱός^{ngms} ὁ^{dgms} θεός^{ngms}. **v.19** οὗτος^{rdnfs} δέ^{c} εἰμί^{vipx3s} ὁ^{dnfs} κρίσις^{nnfs} ὅτι^{c} ὁ^{dnns} φῶς^{nnns} ἔρχομαι^{vixa3s} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} καί^{c} ἀγαπάω^{viaa3p} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} μᾶλλον^{bo} ὁ^{dans} σκότος^{nans} ἤ^{xo} ὁ^{dans} φῶς^{nans} εἰμί^{viix3s} γάρ^{c} πονηρός^{annpn} αὐτός^{rpgmp} ὁ^{dnnp} ἔργον^{nnnp}.

21 ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ, ὁ δὲ ποιῶν τὴν ἀλήθειαν
ἔρχεται πρὸς τὸ φῶς ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα ὅτι ἐν
22 θεῷ ἐστιν εἰργασμένα. Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ
οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν καὶ ἐκεῖ διέτριβεν
23 μετ αὐτῶν καὶ ἐβάπτιζεν. ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν
Αἰνὼν ἐγγὺς τοῦ Σαλήμ ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ καὶ παρε-
24 γίνοντο καὶ ἐβαπτίζοντο, οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν
25 φυλακὴν ὁ Ἰωάννης. Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθη-
26 τῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ. καὶ ἦλθον
πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ Ῥαββί ὃς ἦν μετὰ σοῦ
πέραν τοῦ Ἰορδάνου ᾧ σὺ μεμαρτύρηκας ἴδε οὗτος βαπτί-
27 ζει καὶ πάντες ἔρχονται πρὸς αὐτόν. ἀπεκρίθη Ἰωάννης
καὶ εἶπεν Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν ἐὰν μὴ ᾖ
28 δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. αὐτοὶ ὑμεῖς μαρτυρεῖτε
ὅτι εἶπον Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός ἀλλ ὅτι Ἀπεσταλμένος εἰ-
29 μὶ ἔμπροσθεν ἐκείνου. ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν,
ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ χαρᾷ
χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου αὕτη οὖν ἡ χαρὰ ἡ ἐ-
30 μὴ πεπλήρωται. ἐκεῖνον δεῖ αὐξάνειν ἐμὲ δὲ ἐλαττοῦσθαι.

---

v.20 πᾶς^{anmsn} γάρ^{c} ὁ^{dnms} φαῦλος^{aanpn} πράσσω^{vppanms} μισέω^{vipa3s} ὁ^{dans} φῶς^{nans} καί^{c} οὐ^{xo} ἔρχομαι^{vipn3s} πρός^{p} ὁ^{dans} φῶς^{nans} ἵνα^{c} μή^{xo} ἐλέγχω^{vsap3s} ὁ^{dnnp} ἔργον^{nnnp} αὐτός^{rpgms}.
v.21 ὁ^{dnms} δέ^{c} ποιέω^{vppanms} ὁ^{dafs} ἀλήθεια^{nafs} ἔρχομαι^{vipn3s} πρός^{p} ὁ^{dans} φῶς^{nans} ἵνα^{c} φανερόω^{vsap3s} αὐτός^{rpgms} ὁ^{dnnp} ἔργον^{nnnp} ὅτι^{c} ἐν^{p} θεός^{ndms} εἰμί^{vipx3s} ἐργάζομαι^{vpxpnnp}.
v.22 μετά^{p} οὗτος^{rdanp} ἔρχομαι^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dafs} Ἰουδαῖος^{aafsn} γῆ^{nafs} καί^{c} ἐκεῖ^{bo} διατρίβω^{viia3s} μετά^{p} αὐτός^{rpgmp} καί^{c} βαπτίζω^{viia3s}.
v.23 εἰμί^{viix3s} δέ^{c} καί^{c} Ἰωάννης^{nnms} βαπτίζω^{vppanms} ἐν^{p} Αἰνών^{tp} ἐγγύς^{bo} ὁ^{dgms} Σαλήμ^{tp} ὅτι^{c} ὕδωρ^{nnnp} πολύς^{annpn} εἰμί^{viix3s} ἐκεῖ^{bo} καί^{c} παραγίνομαι^{viid3p} καί^{c} βαπτίζω^{viip3p}.
v.24 οὔπω^{bo} γάρ^{c} εἰμί^{viix3s} βάλλω^{vpxpnms} εἰς^{p} ὁ^{dafs} φυλακή^{nafs} ὁ^{dnms} Ἰωάννης^{nnms}.
v.25 γίνομαι^{viad3s} οὖν^{c} ζήτησις^{nnfs} ἐκ^{p} ὁ^{dgmp} μαθητής^{ngmp} Ἰωάννης^{ngms} μετά^{p} Ἰουδαῖος^{agmsn} περί^{p} καθαρισμός^{ngms}. **v.26** καί^{c} ἔρχομαι^{viaa3p} πρός^{p} ὁ^{dams} Ἰωάννης^{nams} καί^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ῥαββίth ὅς^{rrnms} εἰμί^{viix3s} μετά^{p} σύ$^{rpg-s}$ πέραν^{bo} ὁ^{dgms} Ἰορδάνης^{ngms} ὅς^{rrdms} σύ$^{rpn-s}$ μαρτυρέω^{vixa2s} ἴδε^{i} οὗτος^{rdnms} βαπτίζω^{vipa3s} καί^{c} πᾶς^{anmpn} ἔρχομαι^{vipn3p} πρός^{p} αὐτός^{rpams}. **v.27** ἀποκρίνομαι^{viad3s} Ἰωάννης^{nnms} καί^{c} λέγω^{viaa3s} οὐ^{xo} δύναμαι^{vipn3s} ἄνθρωπος^{nnms} λαμβάνω^{vnpa} οὐδείς^{aansn} ἐάν^{qo} μή^{xo} εἰμί^{vspx3s} δίδωμι^{vpxpnns} αὐτός^{rpdms} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms}. **v.28** αὐτός^{rpnmp} σύ$^{rpn-p}$ μαρτυρέω^{vipa2p} ὅτι^{c} λέγω^{viaa1s} οὐ^{xo} εἰμί^{vipx1s} ἐγώ$^{rpn-s}$ ὁ^{dnms} Χριστός^{nnms} ἀλλά^{c} ὅτι^{c} ἀποστέλλω^{vpxpnms} εἰμί^{vipx1s} ἔμπροσθεν^{p} ἐκεῖνος^{rdgms}.
v.29 ὁ^{dnms} ἔχω^{vppanms} ὁ^{dafs} νύμφη^{nafs} νυμφίος^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} δέ^{c} φίλος^{anmsn} ὁ^{dgms} νυμφίος^{ngms} ὁ^{dnms} ἵστημι^{vpxanms} καί^{c} ἀκούω^{vppanms} αὐτός^{rpgms} χαρά^{ndfs} χαίρω^{vipa3s} διά^{p} ὁ^{dafs} φωνή^{nafs} ὁ^{dgms} νυμφίος^{ngms} οὗτος^{rdnfs} οὖν^{c} ὁ^{dnfs} χαρά^{nnfs} ὁ^{dnfs} ἐμός^{rsnfs} πληρόω^{vixp3s}.
v.30 ἐκεῖνος^{rdams} δεῖ^{vipq3s} αὐξάνω^{vnpa} ἐγώ$^{rpa-s}$ δέ^{c} ἐλαττόω^{vnpp}.

῾Ο ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν, ὁ ὢν ἐκ τῆς γῆς 31
ἐκ τῆς γῆς ἐστιν καὶ ἐκ τῆς γῆς λαλεῖ ὁ ἐκ τοῦ οὐρανοῦ ἐρ-
χόμενος ἐπάνω πάντων ἐστίν, καὶ ὃ ἑώρακεν καὶ ἤκουσεν 32
τοῦτο μαρτυρεῖ καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει.
ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ θεὸς ἀλη- 33
θής ἐστιν. ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς τὰ ῥήματα τοῦ θεοῦ 34
λαλεῖ οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς, τὸ πνεῦμα. ὁ πα- 35
τὴρ ἀγαπᾷ τὸν υἱόν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.
ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν τῷ 36
υἱῷ οὐκ ὄψεται [τήν] ζωήν ἀλλ ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ
αὐτόν.

῾Ως οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι ᾿Ιη- **4**
σοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ ᾿Ιωάννης. καί- 2
τοιγε ᾿Ιησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν ἀλλ οἱ μαθηταὶ αὐτοῦ.
ἀφῆκεν τὴν ᾿Ιουδαίαν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. ἔδει 3, 4
δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς Σαμαρείας. ἔρχεται οὖν εἰς 5
πόλιν τῆς Σαμαρείας λεγομένην Συχὰρ πλησίον τοῦ χωρίου
ὃ ἔδωκεν ᾿Ιακὼβ ᾿Ιωσὴφ τῷ υἱῷ αὐτοῦ, ἦν δὲ ἐκεῖ πηγὴ τοῦ 6
᾿Ιακώβ ὁ οὖν ᾿Ιησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκα-
θέζετο οὕτως ἐπὶ τῇ πηγῇ, ὥρα ἦν ὡσεὶ ἕκτη. ῎Ερχεται 7

---

v.31 ὁ^{dnms} ἄνωθεν^{bo} ἔρχομαι^{vppnnms} ἐπάνω^{bo} πᾶς^{agnpn} εἰμί^{vipx3s} ὁ^{dnms} εἰμί^{vppxnms} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} εἰμί^{vipx3s} καί^{c} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} λαλέω^{vipa3s} ὁ^{dnms} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} ἔρχομαι^{vppnnms} ἐπάνω^{bo} πᾶς^{agnpn} εἰμί^{vipx3s}. **v.32** καί^{c} ὅς^{rrans} ὁράω^{vixa3s} καί^{c} ἀκούω^{viaa3s} οὗτος^{rdans} μαρτυρέω^{vipa3s} καί^{c} ὁ^{dafs} μαρτυρία^{nafs} αὐτός^{rpgms} οὐδείς^{anfsn} λαμβάνω^{vipa3s}. **v.33** ὁ^{dnms} λαμβάνω^{vpaanms} αὐτός^{rpgms} ὁ^{dafs} μαρτυρία^{nafs} σφραγίζω^{viaa3s} ὅτι^{c} ὁ^{dnms} θεός^{nnms} ἀληθής^{anmsn} εἰμί^{vipx3s}. **v.34** ὅς^{rrams} γάρ^{c} ἀποστέλλω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{danp} ῥῆμα^{nanp} ὁ^{dgms} θεός^{ngms} λαλέω^{vipa3s} οὐ^{xo} γάρ^{c} ἐκ^{p} μέτρον^{ngns} δίδωμι^{vipa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dans} πνεῦμα^{nans}. **v.35** ὁ^{dnms} πατήρ^{nnms} ἀγαπάω^{vipa3s} ὁ^{dams} υἱός^{nams} καί^{c} πᾶς^{aanpn} δίδωμι^{vixa3s} ἐν^{p} ὁ^{ddfs} χείρ^{ndfs} αὐτός^{rpgms}. **v.36** ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ὁ^{dams} υἱός^{nams} ἔχω^{vipa3s} ζωή^{nafs} αἰώνιος^{aafsn} ὁ^{dnms} δέ^{c} ἀπειθέω^{vppanms} ὁ^{ddms} υἱός^{ndms} οὐ^{xo} ὁράω^{vifd3s} ὁ^{dafs} ζωή^{nafs} ἀλλά^{c} ὁ^{dnfs} ὀργή^{nnfs} ὁ^{dgms} θεός^{ngms} μένω^{vipa3s} ἐπί^{p} αὐτός^{rpams}.
4. v.1 ὡς^{bo} οὖν^{c} γινώσκω^{viaa3s} ὁ^{dnms} κύριος^{nnms} ὅτι^{c} ἀκούω^{viaa3p} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} ὅτι^{c} ᾿Ιησοῦς^{nnms} πολύς^{aampc} μαθητής^{namp} ποιέω^{vipa3s} καί^{c} βαπτίζω^{vipa3s} ἤ^{xo} ᾿Ιωάννης^{nnms}. **v.2** καίτοιγε^{c} ᾿Ιησοῦς^{nnms} αὐτός^{rpnms} οὐ^{xo} βαπτίζω^{viia3s} ἀλλά^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms}. **v.3** ἀφίημι^{viaa3s} ὁ^{dafs} ᾿Ιουδαία^{nafs} καί^{c} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs}. **v.4** δεῖ^{viiq3s} δέ^{c} αὐτός^{rpams} διέρχομαι^{vnpn} διά^{p} ὁ^{dgfs} Σαμάρεια^{ngfs}. **v.5** ἔρχομαι^{vipn3s} οὖν^{c} εἰς^{p} πόλις^{nafs} ὁ^{dgfs} Σαμάρεια^{ngfs} λέγω^{vpppafs} Συχάρ^{tp} πλησίον^{bo} ὁ^{dgns} χωρίον^{ngns} ὅς^{rrans} δίδωμι^{viaa3s} ᾿Ιακώβ^{tp} ᾿Ιωσήφ^{tp} ὁ^{ddms} υἱός^{ndms} αὐτός^{rpgms}. **v.6** εἰμί^{viix3s} δέ^{c} ἐκεῖ^{bo} πηγή^{nnfs} ὁ^{dgms} ᾿Ιακώβ^{tp} ὁ^{dnms} οὖν^{c} ᾿Ιησοῦς^{nnms} κοπιάω^{vpxanms} ἐκ^{p} ὁ^{dgfs} ὁδοιπορία^{ngfs} καθέζομαι^{viin3s} οὕτω^{bo} ἐπί^{p} ὁ^{ddfs} πηγή^{ndfs} ὥρα^{nnfs} εἰμί^{viix3s} ὡσεί^{bo} ἕκτος^{anfsn}.

γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ λέγει αὐτῇ ὁ Ἰη-
8 σοῦς Δός μοι πιεῖν, οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν
9 εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσιν. λέγει οὖν αὐτῷ ἡ
γυνὴ ἡ Σαμαρεῖτις, Πῶς σὺ Ἰουδαῖος ὢν παρ ἐμοῦ πιεῖν
αἰτεῖς οὔσης γυναικὸς Σαμαρείτιδος· οὐ γὰρ συγχρῶνται
10 Ἰουδαῖοι Σαμαρείταις. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ
Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι Δός
μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.
11 λέγει αὐτῷ ἡ γυνή Κύριε οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ
12 ἐστὶν βαθύ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν. μὴ σὺ μείζων
εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ
αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα
13 αὐτοῦ. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ Πᾶς ὁ πίνων ἐκ
14 τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃς δ ἂν πίῃ ἐκ τοῦ ὕ-
δατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα ἀλλὰ
τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλ-
15 λομένου εἰς ζωὴν αἰώνιον. λέγει πρὸς αὐτὸν ἡ γυνή Κύριε
δός μοι τοῦτο τὸ ὕδωρ ἵνα μὴ διψῶ μηδὲ ἔρχομαι ἐνθάδε
16 ἀντλεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ὕπαγε φώνησον τὸν ἄνδρα

---

v.7 ἔρχομαι^{vipn3s} γυνή^{nnfs} ἐκ^{p} ὁ^{dgfs} Σαμάρεια^{ngfs} ἀντλέω^{vnaa} ὕδωρ^{nans} λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} δίδωμι^{vdaa2s} ἐγώ$^{rpd-s}$ πίνω^{vnaa}. **v.8** ὁ^{dnmp} γάρ^{c} μαθητής^{nnmp} αὐτός^{rpgms} ἀπέρχομαι^{viya3p} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} ἵνα^{c} τροφή^{nafp} ἀγοράζω^{vsaa3p}. **v.9** λέγω^{vipa3s} οὖν^{c} αὐτός^{rpdms} ὁ^{dnfs} γυνή^{nnfs} ὁ^{dnfs} Σαμαρῖτις^{nnfs} πῶς^{bo} σύ$^{rpn-s}$ Ἰουδαῖος^{anmsn} εἰμί^{vppxnms} παρά^{p} ἐγώ$^{rpg-s}$ πίνω^{vnaa} αἰτέω^{vipa2s} εἰμί^{vppxgfs} γυνή^{ngfs} Σαμαρῖτις^{ngfs} οὐ^{xo} γάρ^{c} συγχράομαι^{vipn3p} Ἰουδαῖος^{anmpn} Σαμαρίτης^{ndmp}. **v.10** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdfs} εἰ^{qo} οἶδα^{viya2s} ὁ^{dafs} δωρεά^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} τίς^{rqnms} εἰμί^{vipx3s} ὁ^{dnms} λέγω^{vppanms} σύ$^{rpd-s}$ δίδωμι^{vdaa2s} ἐγώ$^{rpd-s}$ πίνω^{vnaa} σύ$^{rpn-s}$ ἄν^{xo} αἰτέω^{viaa2s} αὐτός^{rpams} καί^{c} δίδωμι^{viaa3s} ἄν^{xo} σύ$^{rpd-s}$ ὕδωρ^{nans} ζάω^{vppaans}. **v.11** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnfs} γυνή^{nnfs} κύριος^{nvms} οὔτε^{c} ἄντλημα^{nans} ἔχω^{vipa2s} καί^{c} ὁ^{dnns} φρέαρ^{nnns} εἰμί^{vipx3s} βαθύς^{annsn} πόθεν^{bo} οὖν^{c} ἔχω^{vipa2s} ὁ^{dans} ὕδωρ^{nans} ὁ^{dans} ζάω^{vppaans}. **v.12** μή^{xo} σύ$^{rpn-s}$ μέγας^{anmsc} εἰμί^{vipx2s} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἰακώβ^{tp} ὅς^{rrnms} δίδωμι^{viaa3s} ἐγώ$^{rpd-p}$ ὁ^{dans} φρέαρ^{nans} καί^{c} αὐτός^{rpnms} ἐκ^{p} αὐτός^{rpgns} πίνω^{viaa3s} καί^{c} ὁ^{dnmp} υἱός^{nnmp} αὐτός^{rpgms} καί^{c} ὁ^{dnnp} θρέμμα^{nnnp} αὐτός^{rpgms}. **v.13** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdfs} πᾶς^{anmsn} ὁ^{dnms} πίνω^{vppanms} ἐκ^{p} ὁ^{dgns} ὕδωρ^{ngns} οὗτος^{rdgns} διψάω^{vifa3s} πάλιν^{bo}. **v.14** ὅς^{rrnms} δέ^{c} ἄν^{xo} πίνω^{vsaa3s} ἐκ^{p} ὁ^{dgns} ὕδωρ^{ngns} ὅς^{rrgns} ἐγώ$^{rpn-s}$ δίδωμι^{vifa1s} αὐτός^{rpdms} οὐ^{xo} μή^{xo} διψάω^{vsaa3s} εἰς^{p} ὁ^{dams} αἰών^{nams} ἀλλά^{c} ὁ^{dnns} ὕδωρ^{nnns} ὅς^{rrans} δίδωμι^{vifa1s} αὐτός^{rpdms} γίνομαι^{vifd3s} ἐν^{p} αὐτός^{rpdms} πηγή^{nnfs} ὕδωρ^{ngns} ἅλλομαι^{vppngns} εἰς^{p} ζωή^{nafs} αἰώνιος^{aafsn}. **v.15** λέγω^{vipa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnfs} γυνή^{nnfs} κύριος^{nvms} δίδωμι^{vdaa2s} ἐγώ$^{rpd-s}$ οὗτος^{rdans} ὁ^{dans} ὕδωρ^{nans} ἵνα^{c} μή^{xo} διψάω^{vspa1s} μηδέ^{c} ἔρχομαι^{vipn1s} ἐνθάδε^{bo} ἀντλέω^{vnpa}.

σου καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν Οὐκ ἔχω 17
ἄνδρα λέγει αὐτῇ ὁ Ἰησοῦς Καλῶς εἶπας ὅτι Ἄνδρα οὐκ
ἔχω, πέντε γὰρ ἄνδρας ἔσχες καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν 18
σου ἀνήρ, τοῦτο ἀληθὲς εἴρηκας. λέγει αὐτῷ ἡ γυνή Κύ- 19
ριε θεωρῶ ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει 20
τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις
ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς 21
γύναι πίστευσον μοι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τού-
τῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑμεῖς 22
προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν
ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ἀλλ᾽ ἔρχεται ὥρα καὶ 23
νῦν ἐστιν ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν τῷ
πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ, καὶ γὰρ ὁ πατὴρ τοιούτους
ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ θεός καὶ τοὺς 24
προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσ-
κυνεῖν. λέγει αὐτῷ ἡ γυνή Οἶδα ὅτι Μεσίας ἔρχεται ὁ λε- 25
γόμενος Χριστός, ὅταν ἔλθῃ ἐκεῖνος ἀναγγελεῖ ἡμῖν πάντα.
λέγει αὐτῇ ὁ Ἰησοῦς Ἐγώ εἰμι ὁ λαλῶν σοι. Καὶ ἐπὶ τούτῳ 26, 27
ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς

---

v.16 λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὑπάγω^{vdpa2s} φωνέω^{vdaa2s} ὁ^{dams} ἀνήρ^{nams} σύ$^{rpg-s}$ καί^{c} ἔρχομαι^{vdaa2s} ἐνθάδε^{bo}. **v.17** ἀποκρίνομαι^{viad3s} ὁ^{dnfs} γυνή^{nnfs} καί^{c} λέγω^{viaa3s} οὐ^{xo} ἔχω^{vipa1s} ἀνήρ^{nams} λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} καλῶς^{bo} λέγω^{viaa2s} ὅτι^{c} ἀνήρ^{nams} οὐ^{xo} ἔχω^{vipa1s}. **v.18** πέντε^{tn} γάρ^{c} ἀνήρ^{namp} ἔχω^{viaa2s} καί^{c} νῦν^{bo} ὅς^{rrams} ἔχω^{vipa2s} οὐ^{xo} εἰμί^{vipx3s} σύ$^{rpg-s}$ ἀνήρ^{nnms} οὗτος^{rdans} ἀληθής^{aansn} λέγω^{vixa2s}. **v.19** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnfs} γυνή^{nnfs} κύριος^{nvms} θεωρέω^{vipa1s} ὅτι^{c} προφήτης^{nnms} εἰμί^{vipx2s} σύ$^{rpn-s}$. **v.20** ὁ^{dnmp} πατήρ^{nnmp} ἐγώ$^{rpg-p}$ ἐν^{p} ὁ^{ddns} ὄρος^{ndns} οὗτος^{rddns} προσκυνέω^{viaa3p} καί^{c} σύ$^{rpn-p}$ λέγω^{vipa2p} ὅτι^{c} ἐν^{p} Ἱεροσόλυμα^{ndnp} εἰμί^{vipx3s} ὁ^{dnms} τόπος^{nnms} ὅπου^{bo} δεῖ^{vipq3s} προσκυνέω^{vnpa}. **v.21** λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} γυνή^{nvfs} πιστεύω^{vdaa2s} ἐγώ$^{rpd-s}$ ὅτι^{c} ἔρχομαι^{vipn3s} ὥρα^{nnfs} ὅτε^{bo} οὔτε^{c} ἐν^{p} ὁ^{ddns} ὄρος^{ndns} οὗτος^{rddns} οὔτε^{c} ἐν^{p} Ἱεροσόλυμα^{ndnp} προσκυνέω^{vifa2p} ὁ^{ddms} πατήρ^{ndms}. **v.22** σύ$^{rpn-p}$ προσκυνέω^{vipa2p} ὅς^{rrans} οὐ^{xo} οἶδα^{vixa2p} ἐγώ$^{rpn-p}$ προσκυνέω^{vipa1p} ὅς^{rrans} οἶδα^{vixa1p} ὅτι^{c} ὁ^{dnfs} σωτηρία^{nnfs} ἐκ^{p} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} εἰμί^{vipx3s}. **v.23** ἀλλά^{c} ἔρχομαι^{vipn3s} ὥρα^{nnfs} καί^{c} νῦν^{bo} εἰμί^{vipx3s} ὅτε^{bo} ὁ^{dnmp} ἀληθινός^{anmpn} προσκυνητής^{nnmp} προσκυνέω^{vifa3p} ὁ^{ddms} πατήρ^{ndms} ἐν^{p} πνεῦμα^{ndns} καί^{c} ἀλήθεια^{ndfs} καί^{c} γάρ^{c} ὁ^{dnms} πατήρ^{nnms} τοιοῦτος^{rdamp} ζητέω^{vipa3s} ὁ^{damp} προσκυνέω^{vppaamp} αὐτός^{rpams}. **v.24** πνεῦμα^{nnns} ὁ^{dnms} θεός^{nnms} καί^{c} ὁ^{damp} προσκυνέω^{vppaamp} αὐτός^{rpams} ἐν^{p} πνεῦμα^{ndns} καί^{c} ἀλήθεια^{ndfs} δεῖ^{vipq3s} προσκυνέω^{vnpa}. **v.25** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnfs} γυνή^{nnfs} οἶδα^{vixa1s} ὅτι^{c} Μεσσίας^{nnms} ἔρχομαι^{vipn3s} ὁ^{dnms} λέγω^{vpppnms} Χριστός^{nnms} ὅταν^{c} ἔρχομαι^{vsaa3s} ἐκεῖνος^{rdnms} ἀναγγέλλω^{vifa3s} ἐγώ$^{rpd-p}$ πᾶς^{aanpn}. **v.26** λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} ὁ^{dnms} λαλέω^{vppanms} σύ$^{rpd-s}$.

ἐλάλει, οὐδεὶς μέντοι εἶπεν Τί ζητεῖς ἢ Τί λαλεῖς μετ αὐτῆς.
28 ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν
29 πόλιν καὶ λέγει τοῖς ἀνθρώποις. Δεῦτε ἴδετε ἄνθρωπον ὃς
εἶπέν μοι πάντα ὅσα ἐποίησα μήτι οὗτός ἐστιν ὁ Χριστός.
30, 31 ἐξῆλθον ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν. Ἐν δὲ
τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες Ῥαββί φάγε.
32 ὁ δὲ εἶπεν αὐτοῖς Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ
33 οἴδατε. ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους Μή τις ἤ-
34 νεγκεν αὐτῷ φαγεῖν. λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐμὸν βρῶμά
ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω
35 αὐτοῦ τὸ ἔργον. οὐχ ὑμεῖς λέγετε ὅτι Ἔτι τετράμηνός ἐ-
στιν καὶ ὁ θερισμὸς ἔρχεται ἰδοὺ λέγω ὑμῖν ἐπάρατε τοὺς
ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσιν
36 πρὸς θερισμόν ἤδη. καὶ ὁ θερίζων μισθὸν λαμβάνει καὶ
συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον ἵνα καὶ ὁ σπείρων ὁμοῦ
37 χαίρῃ καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθι-
38 νὸς ὅτι Ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων. ἐγὼ
ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε, ἄλλοι
κεκοπιάκασιν καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

---

v.27 καί^{c} ἐπί^{p} οὗτος^{rddms} ἔρχομαι^{viaa3p} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} καί^{c} θαυμάζω^{viaa3p} ὅτι^{c} μετά^{p} γυνή^{ngfs} λαλέω^{viia3s} οὐδείς^{anfsn} μέντοι^{c} λέγω^{viaa3s} τίς^{rqans} ζητέω^{vipa2s} ἤ^{xo} τίς^{rqans} λαλέω^{vipa2s} μετά^{p} αὐτός^{rpgfs}. **v.28** ἀφίημι^{viaa3s} οὖν^{c} ὁ^{dafs} ὑδρία^{nafs} αὐτός^{rpgfs} ὁ^{dnfs} γυνή^{nnfs} καί^{c} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} πόλις^{nafs} καί^{c} λέγω^{vipa3s} ὁ^{ddmp} ἄνθρωπος^{ndmp}. **v.29** δεῦτε^{vdvx2p} ὁράω^{vdaa2p} ἄνθρωπος^{nams} ὅς^{rrnms} λέγω^{viaa3s} ἐγώ$^{rpd-s}$ πᾶς^{aanpn} ὅσος^{rcanp} ποιέω^{viaa1s} μήτι^{xo} οὗτος^{rdnms} εἰμί^{vipx3s} ὁ^{dnms} Χριστός^{nnms}. **v.30** ἐξέρχομαι^{viaa3p} ἐκ^{p} ὁ^{dgfs} πόλις^{ngfs} καί^{c} ἔρχομαι^{viin3p} πρός^{p} αὐτός^{rpams}. **v.31** ἐν^{p} δέ^{c} ὁ^{ddms} μεταξύ^{bo} ἐρωτάω^{viia3p} αὐτός^{rpams} ὁ^{dnmp} μαθητής^{nnmp} λέγω^{vppanmp} ῥαββίth ἐσθίω^{vdaa2s}. **v.32** ὁ^{dnms} δέ^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ἐγώ$^{rpn-s}$ βρῶσις^{nafs} ἔχω^{vipa1s} ἐσθίω^{vnaa} ὅς^{rrafs} σύ$^{rpn-p}$ οὐ^{xo} οἶδα^{vixa2p}. **v.33** λέγω^{viia3p} οὖν^{c} ὁ^{dnmp} μαθητής^{nnmp} πρός^{p} ἀλλήλων^{reamp} μή^{xo} τι-σρινμσ φέρω^{viaa3s} αὐτός^{rpdms} ἐσθίω^{vnaa}. **v.34** λέγω^{vipa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐμός^{rsnns} βρῶμα^{nnns} εἰμί^{vipx3s} ἵνα^{c} ποιέω^{vspa1s} ὁ^{dans} θέλημα^{nans} ὁ^{dgms} πέμπω^{vpaagms} ἐγώ$^{rpa-s}$ καί^{c} τελειόω^{vsaa1s} αὐτός^{rpgms} ὁ^{dans} ἔργον^{nans}. **v.35** οὐ^{xo} σύ$^{rpn-p}$ λέγω^{vipa2p} ὅτι^{c} ἔτι^{bo} τετράμηνος^{anmsn} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnms} θερισμός^{nnms} ἔρχομαι^{vipn3s} ἰδού^{vdaa2s} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἐπαίρω^{vdaa2p} ὁ^{damp} ὀφθαλμός^{namp} σύ$^{rpg-p}$ καί^{c} θεάομαι^{vdad2p} ὁ^{dafp} χώρα^{nafp} ὅτι^{c} λευκός^{anfpn} εἰμί^{vipx3p} πρός^{p} θερισμός^{nams} ἤδη^{bo}. **v.36** καί^{c} ὁ^{dnms} θερίζω^{vppanms} μισθός^{nams} λαμβάνω^{vipa3s} καί^{c} συνάγω^{vipa3s} καρπός^{nams} εἰς^{p} ζωή^{nafs} αἰώνιος^{aafsn} ἵνα^{c} καί^{c} ὁ^{dnms} σπείρω^{vppanms} ὁμοῦ^{bo} χαίρω^{vspa3s} καί^{c} ὁ^{dnms} θερίζω^{vppanms}. **v.37** ἐν^{p} γάρ^{c} οὗτος^{rddms} ὁ^{dnms} λόγος^{nnms} εἰμί^{vipx3s} ὁ^{dnms} ἀληθινός^{anmsn} ὅτι^{c} ἄλλος^{anmsn} εἰμί^{vipx3s} ὁ^{dnms} σπείρω^{vppanms} καί^{c} ἄλλος^{anmsn} ὁ^{dnms} θερίζω^{vppanms}. **v.38** ἐγώ$^{rpn-s}$ ἀποστέλλω^{viaa1s} σύ$^{rpa-p}$ θερίζω^{vnpa} ὅς^{rrans} οὐ^{xo} σύ$^{rpn-p}$ κοπιάω^{vixa2p} ἄλλος^{anmpn} κοπιάω^{vixa3p} καί^{c} σύ$^{rpn-p}$ εἰς^{p} ὁ^{dams} κόπος^{nams} αὐτός^{rpgmp} εἰσέρχομαι^{vixa2p}.

Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν 39
Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης ὅτι
Εἶπέν μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν 40
οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ αὐτοῖς, καὶ ἔμει-
νεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ 41
τὸν λόγον αὐτοῦ. τῇ τε γυναικὶ ἔλεγον ὅτι Οὐκέτι διὰ τὴν 42
σὴν λαλιὰν πιστεύομεν, αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδα-
μεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός.
Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν καὶ ἀπῆλθεν εἰς 43
τὴν Γαλιλαίαν, αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προ- 44
φήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. ὅτε οὖν ἦλθεν εἰς 45
τὴν Γαλιλαίαν ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι πάντα ἑωρακό-
τες ἃ ἐποίησεν ἐν Ἰεροσολύμοις ἐν τῇ ἑορτῇ καὶ αὐτοὶ γὰρ
ἦλθον εἰς τὴν ἑορτήν. Ἦλθεν οὖν πάλιν ὁ Ἰησοῦς εἰς τὴν 46
Κανὰ τῆς Γαλιλαίας ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον καὶ ἦν
τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ, οὗτος ἀ- 47
κούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν
ἀπῆλθεν πρὸς αὐτὸν καὶ ἠρώτα αὐτόν, ἵνα καταβῇ καὶ ἰ-
άσηται αὐτοῦ τὸν υἱόν ἔμελλεν γὰρ ἀποθνῄσκειν. εἶπεν 48
οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε

---

v.39 ἐκ^{p} δέ^{c} ὁ^{dgfs} πόλις^{ngfs} ἐκεῖνος^{rdgfs} πολύς^{anmpn} πιστεύω^{viaa3p} εἰς^{p} αὐτός^{rpams} ὁ^{dgmp} Σαμαρίτης^{ngmp} διά^{p} ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} γυνή^{ngfs} μαρτυρέω^{vppagfs} ὅτι^{c} λέγω^{viaa3s} ἐγώ$^{rpd-s}$ πᾶς^{aanpn} ὅσος^{rcanp} ποιέω^{viaa1s}. **v.40** ὡς^{bo} οὖν^{c} ἔρχομαι^{viaa3p} πρός^{p} αὐτός^{rpams} ὁ^{dnmp} Σαμαρίτης^{nnmp} ἐρωτάω^{viia3p} αὐτός^{rpams} μένω^{vnaa} παρά^{p} αὐτός^{rpdmp} καί^{c} μένω^{viaa3s} ἐκεῖ^{bo} δύο^{tn} ἡμέρα^{nafp}. **v.41** καί^{c} πολύς^{admsn} πολύς^{anmpc} πιστεύω^{viaa3p} διά^{p} ὁ^{dams} λόγος^{nams} αὐτός^{rpgms}. **v.42** ὁ^{ddfs} τέ^{xo} γυνή^{ndfs} λέγω^{viia3p} ὅτι^{c} οὐκέτι^{bo} διά^{p} ὁ^{dafs} σός^{rsafs} λαλιά^{nafs} πιστεύω^{vipa1p} αὐτός^{rpnmp} γάρ^{c} ἀκούω^{vixa1p} καί^{c} οἶδα^{vixa1p} ὅτι^{c} οὗτος^{rdnms} εἰμί^{vipx3s} ἀληθῶς^{bo} ὁ^{dnms} σωτήρ^{nnms} ὁ^{dgms} κόσμος^{ngms} ὁ^{dnms} Χριστός^{nnms}. **v.43** μετά^{p} δέ^{c} ὁ^{dafp} δύο^{tn} ἡμέρα^{nafp} ἐξέρχομαι^{viaa3s} ἐκεῖθεν^{bo} καί^{c} ἀπέρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs}. **v.44** αὐτός^{rpnms} γάρ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} μαρτυρέω^{viaa3s} ὅτι^{c} προφήτης^{nnms} ἐν^{p} ὁ^{ddfs} ἴδιος^{adfsn} πατρίς^{ndfs} τιμή^{nafs} οὐ^{xo} ἔχω^{vipa3s}. **v.45** ὅτε^{bo} οὖν^{c} ἔρχομαι^{viaa3s} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs} δέχομαι^{viad3p} αὐτός^{rpams} ὁ^{dnmp} Γαλιλαῖος^{nnmp} πᾶς^{aanpn} ὁράω^{vpxanmp} ὅς^{rranp} ποιέω^{viaa3s} ἐν^{p} Ἱεροσόλυμα^{ndnp} ἐν^{p} ὁ^{ddfs} ἑορτή^{ndfs} καί^{c} αὐτός^{rpnmp} γάρ^{c} ἔρχομαι^{viaa3p} εἰς^{p} ὁ^{dafs} ἑορτή^{nafs}. **v.46** ἔρχομαι^{viaa3s} οὖν^{c} πάλιν^{bo} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} ὁ^{dafs} Κανά^{tp} ὁ^{dgfs} Γαλιλαία^{ngfs} ὅπου^{bo} ποιέω^{viaa3s} ὁ^{dans} ὕδωρ^{nans} οἶνος^{nams} καί^{c} εἰμί^{viix3s} τι-σρινμσ βασιλικός^{anmsn} ὅς^{rrgms} ὁ^{dnms} υἱός^{nnms} ἀσθενέω^{viia3s} ἐν^{p} Καπερναούμ^{tp}. **v.47** οὗτος^{rdnms} ἀκούω^{vpaanms} ὅτι^{c} Ἰησοῦς^{nnms} ἥκω^{vipa3s} ἐκ^{p} ὁ^{dgfs} Ἰουδαία^{ngfs} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs} ἀπέρχομαι^{viaa3s} πρός^{p} αὐτός^{rpams} καί^{c} ἐρωτάω^{viia3s} αὐτός^{rpams} ἵνα^{c} καταβαίνω^{vsaa3s} καί^{c} ἰάομαι^{vsad3s} αὐτός^{rpgms} ὁ^{dams} υἱός^{nams} μέλλω^{viia3s} γάρ^{c} ἀποθνῄσκω^{vnpa}.

49 οὐ μὴ πιστεύσητε. λέγει πρὸς αὐτὸν ὁ βασιλικός Κύριε
50 κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. λέγει αὐτῷ ὁ
Ἰησοῦς Πορεύου ὁ υἱός σου ζῇ καὶ ἐπίστευσεν ὁ ἄνθρωπος
51 τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς καὶ ἐπορεύετο. ἤδη δὲ
αὐτοῦ καταβαίνοντος οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ καὶ
52 ἀπήγγειλαν λέγοντες ὅτι ὁ παῖς σου ζῇ. ἐπύθετο οὖν παρ
αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχεν, καὶ εἶπον αὐτῷ ὅτι
53 Χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. ἔγνω οὖν ὁ
πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Ὁ
υἱός σου ζῇ καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.
54 Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ
τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

5 Μετὰ ταῦτα ἦν [ἡ] ἑορτὴ τῶν Ἰουδαίων καὶ ἀνέβη ὁ Ἰη-
2 σοῦς εἰς Ἰεροσόλυμα. ἔστιν δὲ ἐν τοῖς Ἰεροσολύμοις ἐπὶ
τῇ προβατικῇ κολυμβήθρα ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βη-
3 θεσδά, πέντε στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος
πολὺ τῶν ἀσθενούντων τυφλῶν χωλῶν ξηρῶν ἐκδεχομένων
4 τὴν τοῦ ὕδατος κίνησιν. ἄγγελος γὰρ κατὰ καιρὸν κατέ-
βαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσεν τὸ ὕδωρ, ὁ οὖν
πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο,

---

v.48 λέγω^{viaa3s} οὖν^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} πρός^{p} αὐτός^{rpams} ἐάν^{qo} μή^{xo} σημεῖον^{nanp} καί^{c} τέρας^{nanp} ὁράω^{vsaa2p} οὐ^{xo} μή^{xo} πιστεύω^{vsaa2p}. **v.49** λέγω^{vipa3s} πρός^{p} αὐτός^{rpams} ὁ^{dnms} βασιλικός^{anmsn} κύριος^{nvms} καταβαίνω^{vdaa2s} πρίν^{bo} ἀποθνῄσκω^{vnaa} ὁ^{dans} παιδίον^{nans} ἐγώ$^{rpg-s}$. **v.50** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} πορεύομαι^{vdpn2s} ὁ^{dnms} υἱός^{nnms} σύ$^{rpg-s}$ ζάω^{vipa3s} καί^{c} πιστεύω^{viaa3s} ὁ^{dnms} ἄνθρωπος^{nnms} ὁ^{ddms} λόγος^{ndms} ὅς^{rrdms} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} πορεύομαι^{viin3s}. **v.51** ἤδη^{bo} δέ^{c} αὐτός^{rpgms} καταβαίνω^{vppagms} ὁ^{dnmp} δοῦλος^{nnmp} αὐτός^{rpgms} ἀπαντάω^{viaa3p} αὐτός^{rpdms} καί^{c} ἀπαγγέλλω^{viaa3p} λέγω^{vppanmp} ὅτι^{c} ὁ^{dnms} παῖς^{nnms} σύ$^{rpg-s}$ ζάω^{vipa3s}. **v.52** πυνθάνομαι^{viad3s} οὖν^{c} παρά^{p} αὐτός^{rpgmp} ὁ^{dafs} ὥρα^{nafs} ἐν^{p} ὅς^{rrdfs} κομψότερον^{bo} ἔχω^{viaa3s} καί^{c} λέγω^{viaa3p} αὐτός^{rpdms} ὅτι^{c} ἐχθές^{bo} ὥρα^{nafs} ἑβδομος^{aafsn} ἀφίημι^{viaa3s} αὐτός^{rpams} ὁ^{dnms} πυρετός^{nnms}. **v.53** γινώσκω^{viaa3s} οὖν^{c} ὁ^{dnms} πατήρ^{nnms} ὅτι^{c} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ὥρα^{ndfs} ἐν^{p} ὅς^{rrdfs} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} ὁ^{dnms} υἱός^{nnms} σύ$^{rpg-s}$ ζάω^{vipa3s} καί^{c} πιστεύω^{viaa3s} αὐτός^{rpnms} καί^{c} ὁ^{dnfs} οἰκία^{nnfs} αὐτός^{rpgms} ὅλος^{anfsn}. **v.54** οὗτος^{rdans} πάλιν^{bo} δεύτερος^{aansn} σημεῖον^{nans} ποιέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἔρχομαι^{vpaanms} ἐκ^{p} ὁ^{dgfs} Ἰουδαία^{ngfs} εἰς^{p} ὁ^{dafs} Γαλιλαία^{nafs}. **5. v.1** μετά^{p} οὗτος^{rdanp} εἰμί^{viix3s} ὁ^{dnfs} ἑορτή^{nnfs} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} καί^{c} ἀναβαίνω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} Ἱεροσόλυμα^{nafs}. **v.2** εἰμί^{vipx3s} δέ^{c} ἐν^{p} ὁ^{ddnp} Ἱεροσόλυμα^{ndnp} ἐπί^{p} ὁ^{ddfs} προβατικός^{adfsn} κολυμβήθρα^{nnfs} ὁ^{dnfs} ἐπιλέγω^{vpppnfs} Ἑβραϊστί^{bo} Βηθζαχά^{tp} πέντε^{tn} στοά^{nafp} ἔχω^{vppanfs}. **v.3** ἐν^{p} οὗτος^{rddfp} κατάκειμαι^{viin3s} πλῆθος^{nnns} πολύς^{annsn} ὁ^{dgmp} ἀσθενέω^{vppagmp} τυφλός^{agmpn} χωλός^{agmpn} ξηρός^{agmpn} ἐκδέχομαι^{vppngmp} ὁ^{dafs} ὁ^{dgns} ὕδωρ^{ngns} κίνησις^{nafs}.

ᾧ δήποτε κατειχετο νοσήματι. ἦν δέ τις ἄνθρωπος ἐκεῖ 5
τριάκοντα [καὶ] ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. τοῦτον ἰδὼν 6
ὁ Ἰησοῦς κατακείμενον καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον
ἔχει λέγει αὐτῷ Θέλεις ὑγιὴς γενέσθαι. ἀπεκρίθη αὐτῷ 7
ὁ ἀσθενῶν Κύριε ἄνθρωπον οὐκ ἔχω ἵνα ὅταν ταραχθῇ τὸ
ὕδωρ βάλῃ με εἰς τὴν κολυμβήθραν, ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ
ἄλλος πρὸ ἐμοῦ καταβαίνει. λέγει αὐτῷ ὁ Ἰησοῦς ἐγεῖ- 8
ραι ἆρον τὸν κράββατον σου καὶ περιπάτει. καὶ εὐθέως 9
ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος καὶ ἦρεν τὸν κράββατον αὐτοῦ
καὶ περιεπάτει Ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλε- 10
γον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ Σάββατόν ἐστιν οὐκ
ἔξεστίν σοι ἆραι τὸν κράββατον. ἀπεκρίθη αὐτοῖς ὁ ποι- 11
ήσας με ὑγιῆ ἐκεῖνός μοι εἶπεν Ἆρον τὸν κράββατον σου
καὶ περιπάτει. ἠρώτησαν οὖν αὐτόν Τίς ἐστιν ὁ ἄνθρωπος 12
ὁ εἰπών σοι Ἆρον τὸν κράββατον σου καὶ περιπάτει. ὁ 13
δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου
ὄντος ἐν τῷ τόπῳ. μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν 14
τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ Ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρ-

---

v.4 ἄγγελος^{nnms} γάρ^{c} κατά^{p} καιρός^{nams} καταβαίνω^{viia3s} ἐν^{p} ὁ^{ddfs} κολυμβήθρα^{ndfs} καί^{c} ταράσσω^{viia3s} ὁ^{dans} ὕδωρ^{nans} ὁ^{dnms} οὖν^{c} πρῶτος^{anmsn} ἐμβαίνω^{vpaanms} μετά^{p} ὁ^{dafs} ταραχή^{nafs} ὁ^{dgns} ὕδωρ^{ngns} ὑγιής^{anmsn} γίνομαι^{viin3s} ὅς^{rrdns} δήποτε^{xo} κατέχω^{viip3s} νόσημα^{ndns}.
v.39 ζητέω^{viia3p} οὖν^{c} πάλιν^{bo} αὐτός^{rpams} πιάζω^{vnaa} καί^{c} ἐξέρχομαι^{viaa3s} ἐκ^{p} ὁ^{dgfs} χείρ^{ngfs} αὐτός^{rpgmp}. **v.40** καί^{c} ἀπέρχομαι^{viaa3s} πάλιν^{bo} πέραν^{bo} ὁ^{dgms} Ἰορδάνης^{ngms} εἰς^{p} ὁ^{dams} τόπος^{nams} ὅπου^{bo} εἰμί^{viix3s} Ἰωάννης^{nnms} ὁ^{dnns} πρῶτος^{annsn} βαπτίζω^{vppanms} καί^{c} μένω^{viaa3s} ἐκεῖ^{bo}. **v.41** καί^{c} πολύς^{anmpn} ἔρχομαι^{viaa3p} πρός^{p} αὐτός^{rpams} καί^{c} λέγω^{viia3p} ὅτι^{c} Ἰωάννης^{nnms} μέν^{xo} σημεῖον^{nans} ποιέω^{viaa3s} οὐδείς^{aansn} πᾶς^{annpn} δέ^{c} ὅσος^{rcanp} λέγω^{viaa3s} Ἰωάννης^{nnms} περί^{p} οὗτος^{rdgms} ἀληθής^{annpn} εἰμί^{viix3s}. **v.42** καί^{c} πιστεύω^{viaa3p} πολύς^{anmpn} ἐκεῖ^{bo} εἰς^{p} αὐτός^{rpams}. **11. v.1** εἰμί^{viix3s} δέ^{c} τι-σρινμσ ἀσθενέω^{vppanms} Λάζαρος^{nnms} ἀπό^{p} Βηθανία^{ngfs} ἐκ^{p} ὁ^{dgfs} κώμη^{ngfs} Μαρία^{ngfs} καί^{c} Μάρθα^{ngfs} ὁ^{dgfs} ἀδελφή^{ngfs} αὐτός^{rpgfs}. **v.2** εἰμί^{viix3s} δέ^{c} Μαρία^{nnfs} ὁ^{dnfs} ἀλείφω^{vpaanfs} ὁ^{dams} κύριος^{nams} μύρον^{ndns} καί^{c} ἐκμάσσω^{vpaanfs} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} ὁ^{ddfp} θρίξ^{ndfp} αὐτός^{rpgfs} ὅς^{rrgfs} ὁ^{dnms} ἀδελφός^{nnms} Λάζαρος^{nnms} ἀσθενέω^{viia3s}. **v.3** ἀποστέλλω^{viaa3p} οὖν^{c} ὁ^{dnfp} ἀδελφή^{nnfp} πρός^{p} αὐτός^{rpams} λέγω^{vppanfp} κύριος^{nvms} ἴδε^{i} ὅς^{rrams} φιλέω^{vipa2s} ἀσθενέω^{vipa3s}. **v.4** ἀκούω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} λέγω^{viaa3s} οὗτος^{rdnfs} ὁ^{dnfs} ἀσθένεια^{nnfs} οὐ^{xo} εἰμί^{vipx3s} πρός^{p} θάνατος^{nams} ἀλλά^{c} ὑπέρ^{p} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} θεός^{ngms} ἵνα^{c} δοξάζω^{vsap3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} διά^{p} αὐτός^{rpgfs}. **v.5** ἀγαπάω^{viia3s} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafs} Μάρθα^{nafs} καί^{c} ὁ^{dafs} ἀδελφή^{nafs} αὐτός^{rpgfs} καί^{c} ὁ^{dams} Λάζαρος^{nams}. **v.6** ὡς^{bo} οὖν^{c} ἀκούω^{viaa3s} ὅτι^{c} ἀσθενέω^{vipa3s} τότε^{bo} μέν^{xo} μένω^{viaa3s} ἐν^{p} ὅς^{rrdms} εἰμί^{viix3s} τόπος^{ndms} δύο^{tn} ἡμέρα^{nafp}. **v.7** ἔπειτα^{bo} μετά^{p} οὗτος^{rdans} λέγω^{vipa3s} ὁ^{ddmp} μαθητής^{ndmp} ἄγω^{vspa1p} εἰς^{p} ὁ^{dafs} Ἰουδαία^{nafs} πάλιν^{bo}. **v.8** λέγω^{vipa3p} αὐτός^{rpdms} ὁ^{dnmp} μαθητής^{nnmp} ῥαββίth νῦν^{bo} ζητέω^{viia3p} σύ$^{rpa-s}$ λιθάζω^{vnaa} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} καί^{c} πάλιν^{bo} ὑπάγω^{vipa2s} ἐκεῖ^{bo}.

τις περιπατῇ ἐν τῇ ἡμέρᾳ οὐ προσκόπτει ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει, ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί προσκόπτει ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. ταῦτα εἶπεν καὶ μετὰ τοῦτο λέγει αὐτοῖς Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ., Κύριε εἰ κεκοίμηται σωθήσεται. εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παρρησίᾳ Λάζαρος ἀπέθανεν. καὶ χαίρω δι' ὑμᾶς ἵνα πιστεύσητε ὅτι οὐκ ἤμην ἐκεῖ, ἀλλὰ ἄγωμεν πρὸς αὐτόν. εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμμαθηταῖς Ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ αὐτοῦ. Ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων ὡς ἀπὸ σταδίων δεκαπέντε. καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι Ἰησοῦς ἔρχεται ὑπήντησεν αὐτῷ, Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. εἶπεν οὖν Μάρθα πρὸς τὸν Ἰησοῦν Κύριε εἰ ἦς ὧδε ὁ ἀδελφός μου, οὐκ ἂν

---

v.9 ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} οὐχί^{xo} δώδεκα^{tn} εἰμί^{vipx3p} ὥρα^{nnfp} ὁ^{dgfs} ἡμέρα^{ngfs} ἐάν^{qo} τι-σρινμσ περιπατέω^{vspa3s} ἐν^{p} ὁ^{ddfs} ἡμέρα^{ndfs} οὐ^{xo} προσκόπτω^{vipa3s} ὅτι^{c} ὁ^{dans} φῶς^{nans} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} βλέπω^{vipa3s}. **v.10** ἐάν^{qo} δέ^{c} τι-σρινμσ περιπατέω^{vspa3s} ἐν^{p} ὁ^{ddfs} νύξ^{ndfs} προσκόπτω^{vipa3s} ὅτι^{c} ὁ^{dnns} φῶς^{nnns} οὐ^{xo} εἰμί^{vipx3s} ἐν^{p} αὐτός^{rpdms}. **v.11** οὗτος^{rdanp} λέγω^{viaa3s} καί^{c} μετά^{p} οὗτος^{rdans} λέγω^{vipa3s} αὐτός^{rpdmp} Λάζαρος^{nnms} ὁ^{dnms} φίλος^{anmsn} ἐγώ$^{rpg-p}$ κοιμάομαι^{vixp3s} ἀλλά^{c} πορεύομαι^{vipn1s} ἵνα^{c} ἐξυπνίζω^{vsaa1s} αὐτός^{rpams}. **v.12** λέγω^{viaa3p} οὖν^{c} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} κύριος^{nvms} εἰ^{qo} κοιμάομαι^{vixp3s} σῴζω^{vifp3s}. **v.13** λέγω^{viya3s} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} περί^{p} ὁ^{dgms} θάνατος^{ngms} αὐτός^{rpgms} ἐκεῖνος^{rdnmp} δέ^{c} δοκέω^{viaa3p} ὅτι^{c} περί^{p} ὁ^{dgfs} κοίμησις^{ngfs} ὁ^{dgms} ὕπνος^{ngms} λέγω^{vipa3s}. **v.14** τότε^{bo} οὖν^{c} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} παρρησία^{ndfs} Λάζαρος^{nnms} ἀποθνήσκω^{viaa3s}. **v.15** καί^{c} χαίρω^{vipa1s} διά^{p} σύ$^{rpa-p}$ ἵνα^{c} πιστεύω^{vsaa2p} ὅτι^{c} οὐ^{xo} εἰμί^{viix1s} ἐκεῖ^{bo} ἀλλά^{c} ἄγω^{vspa1p} πρός^{p} αὐτός^{rpams}. **v.16** λέγω^{viaa3s} οὖν^{c} Θωμᾶς^{nnms} ὁ^{dnms} λέγω^{vpppnms} Δίδυμος^{nnms} ὁ^{ddmp} συμμαθητής^{ndmp} ἄγω^{vspa1p} καί^{c} ἐγώ$^{rpn-p}$ ἵνα^{c} ἀποθνήσκω^{vsaa1p} μετά^{p} αὐτός^{rpgms}. **v.17** ἔρχομαι^{vpaanms} οὖν^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} εὑρίσκω^{viaa3s} αὐτός^{rpams} τέσσαρες^{nafp} ἡμέρα^{nafp} ἤδη^{bo} ἔχω^{vppaams} ἐν^{p} ὁ^{ddns} μνημεῖον^{ndns}. **v.18** εἰμί^{viix3s} δέ^{c} ὁ^{dnfs} Βηθανία^{nnfs} ἐγγύς^{bo} ὁ^{dgnp} Ἱεροσόλυμα^{ngnp} ὡς^{bo} ἀπό^{p} στάδιος^{ngnp} δεκαπέντε^{tn}. **v.19** καί^{c} πολύς^{anmpn} ἐκ^{p} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ἔρχομαι^{viya3p} πρός^{p} ὁ^{dafp} περί^{p} Μάρθα^{nafs} καί^{c} Μαρία^{nafs} ἵνα^{c} παραμυθέομαι^{vsad3p} αὐτός^{rpafp} περί^{p} ὁ^{dgms} ἀδελφός^{ngms} αὐτός^{rpgfp}. **v.20** ὁ^{dnfs} οὖν^{c} Μάρθα^{nnfs} ὡς^{bo} ἀκούω^{viaa3s} ὅτι^{c} Ἰησοῦς^{nnms} ἔρχομαι^{vipn3s} ὑπαντάω^{viaa3s} αὐτός^{rpdms} Μαρία^{nnfs} δέ^{c} ἐν^{p} ὁ^{ddms} οἶκος^{ndms} καθέζομαι^{viin3s}.

22 ἐτεθνήκει. ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεὸν
23 δώσει σοι ὁ θεός. λέγει αὐτῇ ὁ Ἰησοῦς Ἀναστήσεται ὁ ἀ-
24 δελφός σου. λέγει αὐτῷ Μάρθα Οἶδα ὅτι ἀναστήσεται ἐν
25 τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. εἶπεν αὐτῇ ὁ Ἰησοῦς
Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή, ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀ-
26 ποθάνῃ ζήσεται. καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ
27 ἀποθάνῃ εἰς τὸν αἰῶνα, πιστεύεις τοῦτο. λέγει αὐτῷ Ναί
κύριε ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ
28 ὁ εἰς τὸν κόσμον ἐρχόμενος. Καὶ ταῦτά εἰποῦσα ἀπῆλθεν
καὶ ἐφώνησεν Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρᾳ εἰποῦσα
29 Ὁ διδάσκαλος πάρεστιν καὶ φωνεῖ σε. ἐκείνη ὡς ἤκουσεν
30 ἐγείρεται ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν, οὔπω δὲ ἐληλύθει
ὁ Ἰησοῦς εἰς τὴν κώμην ἀλλ ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντη-
31 σεν αὐτῷ ἡ Μάρθα. οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ αὐτῆς ἐν
τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν ἰδόντες τὴν Μαρίαν,
ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν ἠκολούθησαν αὐτῇ λέγον-
32 τες, ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ. ἡ οὖν
Μαρία, ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς ἰδοῦσα αὐτὸν ἔπεσεν
αὐτοῦ εἰς τοὺς πόδας λέγουσα αὐτῷ Κύριε εἰ ἦς ὧδε οὐκ

---

v.21 λέγω^{viaa3s} οὖν^{c} Μάρθα^{nnfs} πρός^{p} ὁ^{dams} Ἰησοῦς^{nams} κύριος^{nvms} εἰ^{qo} εἰμί^{viix2s} ὧδε^{bo} ὁ^{dnms} ἀδελφός^{nnms} ἐγώ$^{rpg-s}$ οὐ^{xo} ἄν^{xo} θνήσκω^{viya3s}. **v.22** ἀλλά^{c} καί^{c} νῦν^{bo} οἶδα^{vixa1s} ὅτι^{c} ὅσος^{rcanp} ἄν^{xo} αἰτέω^{vsam2s} ὁ^{dams} θεός^{nams} δίδωμι^{vifa3s} σύ$^{rpd-s}$ ὁ^{dnms} θεός^{nnms}. **v.23** λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀνίστημι^{vifm3s} ὁ^{dnms} ἀδελφός^{nnms} σύ$^{rpg-s}$. **v.24** λέγω^{vipa3s} αὐτός^{rpdms} Μάρθα^{nnfs} οἶδα^{vixa1s} ὅτι^{c} ἀνίστημι^{vifm3s} ἐν^{p} ὁ^{ddfs} ἀνάστασις^{ndfs} ἐν^{p} ὁ^{ddfs} ἔσχατος^{adfsn} ἡμέρα^{ndfs}. **v.25** λέγω^{viaa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐγώ$^{rpn-s}$ εἰμί^{vipx1s} ὁ^{dnfs} ἀνάστασις^{nnfs} καί^{c} ὁ^{dnfs} ζωή^{nnfs} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ἐγώ$^{rpa-s}$ κἄν^{qo} ἀποθνήσκω^{vsaa3s} ζάω^{vifd3s}. **v.26** καί^{c} πᾶς^{anmsn} ὁ^{dnms} ζάω^{vppanms} καί^{c} πιστεύω^{vppanms} εἰς^{p} ἐγώ$^{rpa-s}$ οὐ^{xo} μή^{xo} ἀποθνήσκω^{vsaa3s} εἰς^{p} ὁ^{dams} αἰών^{nams} πιστεύω^{vipa2s} οὗτος^{rdans}. **v.27** λέγω^{vipa3s} αὐτός^{rpdms} ναί^{xo} κύριος^{nvms} ἐγώ$^{rpn-s}$ πιστεύω^{vixa1s} ὅτι^{c} σύ$^{rpn-s}$ εἰμί^{vipx2s} ὁ^{dnms} Χριστός^{nnms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} θεός^{ngms} ὁ^{dnms} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ἔρχομαι^{vppnnms}. **v.28** καί^{c} οὗτος^{rdanp} λέγω^{vpaanfs} ἀπέρχομαι^{viaa3s} καί^{c} φωνέω^{viaa3s} Μαρία^{nafs} ὁ^{dafs} ἀδελφή^{nafs} αὐτός^{rpgfs} λάθρᾳ^{bo} λέγω^{vpaanfs} ὁ^{dnms} διδάσκαλος^{nnms} πάρειμι^{vipx3s} καί^{c} φωνέω^{vipa3s} σύ$^{rpa-s}$. **v.29** ἐκεῖνος^{rdnfs} ὡς^{bo} ἀκούω^{viaa3s} ἐγείρω^{vipp3s} ταχύς^{bo} καί^{c} ἔρχομαι^{vipn3s} πρός^{p} αὐτός^{rpams}. **v.30** οὔπω^{bo} δέ^{c} ἔρχομαι^{viya3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} εἰς^{p} ὁ^{dafs} κώμη^{nafs} ἀλλά^{c} εἰμί^{viix3s} ἐν^{p} ὁ^{ddms} τόπος^{ndms} ὅπου^{bo} ὑπαντάω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnfs} Μάρθα^{nnfs}. **v.31** ὁ^{dnmp} οὖν^{c} Ἰουδαῖος^{anmpn} ὁ^{dnmp} εἰμί^{vppxnmp} μετά^{p} αὐτός^{rpgfs} ἐν^{p} ὁ^{ddfs} οἰκία^{ndfs} καί^{c} παραμυθέομαι^{vppnnmp} αὐτός^{rpafs} ὁράω^{vpaanmp} ὁ^{dafs} Μαρία^{nafs} ὅτι^{c} ταχέως^{bo} ἀνίστημι^{viaa3s} καί^{c} ἐξέρχομαι^{viaa3s} ἀκολουθέω^{viaa3p} αὐτός^{rpdfs} λέγω^{vppanmp} ὅτι^{c} ὑπάγω^{vipa3s} εἰς^{p} ὁ^{dans} μνημεῖον^{nans} ἵνα^{c} κλαίω^{vsaa3s} ἐκεῖ^{bo}.

ἄν ἀπέθανεν μου ὁ ἀδελφός. Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν 33
κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίον-
τας ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν, καὶ 34
εἶπεν Ποῦ τεθείκατε αὐτόν λέγουσιν αὐτῷ Κύριε ἔρχου καὶ
ἴδε. ἐδάκρυσεν ὁ Ἰησοῦς. ἔλεγον οὖν οἱ Ἰουδαῖοι Ἴδε 35, 36
πῶς ἐφίλει αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Οὐκ ἠδύνατο 37
οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι ἵνα
καὶ οὗτος μὴ ἀποθάνῃ. Ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος 38
ἐν ἑαυτῷ ἔρχεται εἰς τὸ μνημεῖον, ἦν δὲ σπήλαιον καὶ λί-
θος ἐπέκειτο ἐπ αὐτῷ. λέγει ὁ Ἰησοῦς Ἄρατε τὸν λίθον 39
λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα Κύριε ἤδη ὄ-
ζει τεταρταῖος γάρ ἐστιν. λέγει αὐτῇ ὁ Ἰησοῦς Οὐκ εἶπόν 40
σοι ὅτι ἐὰν πιστεύσῃς ὄψει τὴν δόξαν τοῦ θεοῦ. ἦραν οὖν 41
τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κειμένος. ὁ δὲ Ἰησοῦς ἦρεν
τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν Πάτερ εὐχαριστῶ σοι ὅτι ἤ-
κουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις ἀλλὰ 42
διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον ἵνα πιστεύσωσιν ὅτι σύ
με ἀπέστειλας. καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγα- 43
σεν Λάζαρε δεῦρο ἔξω. καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος 44

---

v.32 ὁ^{dnfs} οὖν^{c} Μαρία^{nnfs} ὡς^{bo} ἔρχομαι^{viaa3s} ὅπου^{bo} εἰμί^{viix3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁράω^{vpaanfs} αὐτός^{rpams} πίπτω^{viaa3s} αὐτός^{rpgms} εἰς^{p} ὁ^{damp} πούς^{namp} λέγω^{vppanfs} αὐτός^{rpdms} κύριος^{nvms} εἰ^{qo} εἰμί^{viix2s} ὧδε^{bo} οὐ^{xo} ἄν^{xo} ἀποθνῄσκω^{viaa3s} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} ἀδελφός^{nnms}. **v.33** Ἰησοῦς^{nnms} οὖν^{c} ὡς^{bo} ὁράω^{viaa3s} αὐτός^{rpafs} κλαίω^{vppaafs} καί^{c} ὁ^{damp} συνέρχομαι^{vpaaamp} αὐτός^{rpdfs} Ἰουδαῖος^{aampn} κλαίω^{vppaamp} ἐμβριμάομαι^{viad3s} ὁ^{ddns} πνεῦμα^{ndns} καί^{c} ταράσσω^{viaa3s} ἑαυτοῦ^{rxams}. **v.34** καί^{c} λέγω^{viaa3s} ποῦ^{xo} τίθημι^{vixa2p} αὐτός^{rpams} λέγω^{vipa3p} αὐτός^{rpdms} κύριος^{nvms} ἔρχομαι^{vipn2s} καί^{c} ὁράω^{vdaa2s}. **v.35** δακρύω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms}. **v.36** λέγω^{viia3p} οὖν^{c} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} ἴδε^{i} πῶς^{bo} φιλέω^{viia3s} αὐτός^{rpams}. **v.37** τι-σ-ρινμπ δέ^{c} ἐκ^{p} αὐτός^{rpgmp} λέγω^{viaa3p} οὐ^{xo} δύναμαι^{viin3s} οὗτος^{rdnms} ὁ^{dnms} ἀνοίγω^{vpaanms} ὁ^{damp} ὀφθαλμός^{namp} ὁ^{dgms} τυφλός^{agmsn} ποιέω^{vnaa} ἵνα^{c} καί^{c} οὗτος^{rdnms} μή^{xo} ἀποθνῄσκω^{vsaa3s}. **v.38** Ἰησοῦς^{nnms} οὖν^{c} πάλιν^{bo} ἐμβριμάομαι^{vppnnms} ἐν^{p} ἑαυτοῦ^{rxdms} ἔρχομαι^{vipn3s} εἰς^{p} ὁ^{dans} μνημεῖον^{nans} εἰμί^{viix3s} δέ^{c} σπήλαιον^{nnns} καί^{c} λίθος^{nnms} ἐπίκειμαι^{viin3s} ἐπί^{p} αὐτός^{rpdns}. **v.39** λέγω^{vipa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} αἴρω^{vdaa2p} ὁ^{dams} λίθος^{nams} λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnfs} ἀδελφή^{nnfs} ὁ^{dgms} θνῄσκω^{vpxagms} Μάρθα^{nnfs} κύριος^{nvms} ἤδη^{bo} ὄζω^{vipa3s} τεταρταῖος^{anmsn} γάρ^{c} εἰμί^{vipx3s}. **v.40** λέγω^{vipa3s} αὐτός^{rpdfs} ὁ^{dnms} Ἰησοῦς^{nnms} οὐ^{xo} λέγω^{viaa1s} σύ$^{rpd-s}$ ὅτι^{c} ἐάν^{qo} πιστεύω^{vsaa2s} ὀπτάνομαι^{vifd2s} ὁ^{dafs} δόξα^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.41** αἴρω^{viaa3p} οὖν^{c} ὁ^{dams} λίθος^{nams} οὗ^{bo} εἰμί^{viix3s} ὁ^{dnms} θνῄσκω^{vpxanms} κεῖμαι^{vppnnms} ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} αἴρω^{viaa3s} ὁ^{damp} ὀφθαλμός^{namp} ἄνω^{bo} καί^{c} λέγω^{viaa3s} πατήρ^{nvms} εὐχαριστέω^{vipa1s} σύ$^{rpd-s}$ ὅτι^{c} ἀκούω^{viaa2s} ἐγώ$^{rpg-s}$. **v.42** ἐγώ$^{rpn-s}$ δέ^{c} οἶδα^{viya1s} ὅτι^{c} πάντοτε^{bo} ἐγώ$^{rpg-s}$ ἀκούω^{vipa2s} ἀλλά^{c} διά^{p} ὁ^{dams} ὄχλος^{nams} ὁ^{dams} περιΐστημι^{vpxaams} λέγω^{viaa1s} ἵνα^{c} πιστεύω^{vsaa3p} ὅτι^{c} σύ$^{rpn-s}$ ἐγώ$^{rpa-s}$ ἀποστέλλω^{viaa2s}. **v.43** καί^{c} οὗτος^{rdanp} λέγω^{vpaanms} φωνή^{ndfs} μέγας^{adfsn} κραυγάζω^{viaa3s} Λάζαρος^{nvms} δεῦρο^{vdvx2s} ἔξω^{bo}.

τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις καὶ ἡ ὄψις αὐτοῦ σου-
δαρίῳ περιεδέδετο λέγει αὐτοῖς ὁ Ἰησοῦς Λύσατε αὐτὸν καὶ
45 ἄφετε ὑπάγειν. Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων οἱ ἐλθόντες
πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐ-
46 πίστευσαν εἰς αὐτόν, τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς
47 Φαρισαίους καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς. συν-
ήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον καὶ
ἔλεγον Τί ποιοῦμεν ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα
48 ποιεῖ. ἐὰν ἀφῶμεν αὐτὸν οὕτως πάντες πιστεύσουσιν εἰς
αὐτόν καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ
49 τὸν τόπον καὶ τὸ ἔθνος. εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας ἀρ-
χιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου εἶπεν αὐτοῖς Ὑμεῖς οὐκ
50 οἴδατε οὐδέν. οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς
ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος
51 ἀπόληται. τοῦτο δὲ ἀφ ἑαυτοῦ οὐκ εἶπεν ἀλλὰ ἀρχιερεὺς
ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν ὅτι ἔμελλεν Ἰησοῦς
52 ἀποθνῄσκειν ὑπὲρ τοῦ ἔθνους. καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους
μόνον ἀλλ ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα
53 συναγάγῃ εἰς ἕν. ἀπ ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύ-
54 σαντο ἵνα ἀποκτείνωσιν αὐτόν. Ἰησοῦς οὖν οὐκέτι παρρη-

---

v.44 καίᶜ ἐξέρχομαιᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ θνῄσκωᵛᵖˣᵃⁿᵐˢ δέωᵛᵖˣᵖⁿᵐˢ ὁᵈᵃᵐᵖ πούςⁿᵃᵐᵖ καίᶜ ὁᵈᵃᶠᵖ χείρⁿᵃᶠᵖ κειρίαⁿᵈᶠᵖ καίᶜ ὁᵈⁿᶠˢ ὄψιςⁿⁿᶠˢ αὐτόςʳᵖᵍᵐˢ σουδάριονⁿᵈⁿˢ περιδέωᵛⁱʸᵖ³ˢ λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐᵖ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ λύωᵛᵈᵃᵃ²ᵖ αὐτόςʳᵖᵃᵐˢ καίᶜ ἀφίημιᵛᵈᵃᵃ²ᵖ ὑπάγωᵛⁿᵖᵃ. **v.45** πολύςᵃⁿᵐᵖⁿ οὖνᶜ ἐκᵖ ὁᵈᵍᵐᵖ Ἰουδαῖοςᵃᵍᵐᵖⁿ ὁᵈⁿᵐᵖ ἔρχομαιᵛᵖᵃᵃⁿᵐᵖ πρόςᵖ ὁᵈᵃᶠˢ Μαρίαⁿᵃᶠˢ καίᶜ θεάομαιᵛᵖᵃᵈⁿᵐᵖ ὅςʳʳᵃⁿᵖ ποιέωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ πιστεύωᵛⁱᵃᵃ³ᵖ εἰςᵖ αὐτόςʳᵖᵃᵐˢ. **v.46** τι-σρινμπ δέᶜ ἐκᵖ αὐτόςʳᵖᵍᵐᵖ ἀπέρχομαιᵛⁱᵃᵃ³ᵖ πρόςᵖ ὁᵈᵃᵐᵖ Φαρισαῖοςⁿᵃᵐᵖ καίᶜ λέγωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵈᵐᵖ ὅςʳʳᵃⁿᵖ ποιέωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ. **v.47** συνάγωᵛⁱᵃᵃ³ᵖ οὖνᶜ ὁᵈⁿᵐᵖ ἀρχιερεύςⁿⁿᵐᵖ καίᶜ ὁᵈⁿᵐᵖ Φαρισαῖοςⁿⁿᵐᵖ συνέδριονⁿᵃⁿˢ καίᶜ λέγωᵛⁱᵃᵃ³ᵖ τίςʳᵠᵃⁿˢ ποιέωᵛⁱᵖᵃ¹ᵖ ὅτιᶜ οὗτοςʳᵈⁿᵐˢ ὁᵈⁿᵐˢ ἄνθρωποςⁿⁿᵐˢ πολύςᵃᵃⁿᵖⁿ σημεῖονⁿᵃⁿᵖ ποιέωᵛⁱᵖᵃ³ˢ. **v.48** ἐάνᵠᵒ ἀφίημιᵛˢᵃᵃ¹ᵖ αὐτόςʳᵖᵃᵐˢ οὕτωᵇᵒ πᾶςᵃⁿᵐᵖⁿ πιστεύωᵛⁱᶠᵃ³ᵖ εἰςᵖ αὐτόςʳᵖᵃᵐˢ καίᶜ ἔρχομαιᵛⁱᶠᵈ³ᵖ ὁᵈⁿᵐᵖ Ῥωμαῖοςᵃⁿᵐᵖⁿ καίᶜ αἴρωᵛⁱᶠᵃ³ᵖ ἐγώʳᵖᵍ⁻ᵖ καίᶜ ὁᵈᵃᵐˢ τόποςⁿᵃᵐˢ καίᶜ ὁᵈᵃⁿˢ ἔθνοςⁿᵃⁿˢ. **v.49** εἷςⁿⁿᵐˢ δέᶜ τι-σρινμσ ἐκᵖ αὐτόςʳᵖᵍᵐᵖ Καϊάφαςⁿⁿᵐˢ ἀρχιερεύςⁿⁿᵐˢ εἰμίᵛᵖᵖˣⁿᵐˢ ὁᵈᵍᵐˢ ἐνιαυτόςⁿᵍᵐˢ ἐκεῖνοςʳᵈᵍᵐˢ λέγωᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵈᵐᵖ σύʳᵖⁿ⁻ᵖ οὐˣᵒ οἶδαᵛⁱˣᵃ²ᵖ οὐδείςᵃᵃⁿˢⁿ. **v.50** οὐδέᵇᵒ διαλογίζομαιᵛⁱᵖⁿ²ᵖ ὅτιᶜ συμφέρωᵛⁱᵖᵃ³ˢ ἐγώʳᵖᵈ⁻ᵖ ἵναᶜ εἷςⁿⁿᵐˢ ἄνθρωποςⁿⁿᵐˢ ἀποθνῄσκωᵛˢᵃᵃ³ˢ ὑπέρᵖ ὁᵈᵍᵐˢ λαόςⁿᵍᵐˢ καίᶜ μήˣᵒ ὅλοςᵃⁿⁿˢⁿ ὁᵈⁿⁿˢ ἔθνοςⁿⁿⁿˢ ἀπόλλυμιᵛˢᵃᵐ³ˢ. **v.51** οὗτοςʳᵈᵃⁿˢ δέᶜ ἀπόᵖ ἑαυτοῦʳˣᵍᵐˢ οὐˣᵒ λέγωᵛⁱᵃᵃ³ˢ ἀλλάᶜ ἀρχιερεύςⁿⁿᵐˢ εἰμίᵛᵖᵖˣⁿᵐˢ ὁᵈᵍᵐˢ ἐνιαυτόςⁿᵍᵐˢ ἐκεῖνοςʳᵈᵍᵐˢ προφητεύωᵛⁱᵃᵃ³ˢ ὅτιᶜ μέλλωᵛⁱⁱᵃ³ˢ Ἰησοῦςⁿⁿᵐˢ ἀποθνῄσκωᵛⁿᵖᵃ ὑπέρᵖ ὁᵈᵍⁿˢ ἔθνοςⁿᵍⁿˢ. **v.52** καίᶜ οὐˣᵒ ὑπέρᵖ ὁᵈᵍⁿˢ ἔθνοςⁿᵍⁿˢ μόνοςᵇᵒ ἀλλάᶜ ἵναᶜ καίᶜ ὁᵈᵃⁿᵖ τέκνονⁿᵃⁿᵖ ὁᵈᵍᵐˢ θεόςⁿᵍᵐˢ ὁᵈᵃⁿᵖ διασκορπίζωᵛᵖˣᵖᵃⁿᵖ συνάγωᵛˢᵃᵃ³ˢ εἰςᵖ εἷςⁿᵃⁿˢ. **v.53** ἀπόᵖ ἐκεῖνοςʳᵈᵍᶠˢ οὖνᶜ ὁᵈᵍᶠˢ ἡμέραⁿᵍᶠˢ συμβουλεύωᵛⁱᵃᵐ³ᵖ ἵναᶜ ἀποκτείνωᵛˢᵖᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ.

σίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς
τὴν χώραν ἐγγὺς τῆς ἐρήμου εἰς Ἐφραὶμ λεγομένην πόλιν
κἀκεῖ διέτριβεν μετὰ τῶν μαθητῶν αὐτοῦ. 55 Ἦν δὲ ἐγγὺς τὸ
πάσχα τῶν Ἰουδαίων καὶ ἀνέβησαν πολλοὶ εἰς Ἰεροσόλυμα
ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα ἵνα ἁγνίσωσιν ἑαυτούς. 56 ἐ-
ζήτουν οὖν τὸν Ἰησοῦν καὶ ἔλεγον μετ ἀλλήλων ἐν τῷ ἱερῷ
ἑστηκότες Τί δοκεῖ ὑμῖν ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν. 57 δε-
δώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὴν ἵνα
ἐάν τις γνῷ ποῦ ἐστιν μηνύσῃ ὅπως πιάσωσιν αὐτόν.

12 Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθα-
νίαν ὅπου ἦν Λάζαρος Ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν.
ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ καὶ ἡ Μάρθα διηκόνει ὁ δὲ 2
Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν αὐτῷ. 3 ἡ οὖν Μαρία
λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου ἤλει-
ψεν τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς
τοὺς πόδας αὐτοῦ, ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ
μύρου. 4 λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ Ἰούδας Σίμω-
νος Ἰσκαριώτης ὁ μέλλων αὐτὸν παραδιδόναι. 5 Διὰ τί τοῦτο
τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτω-
χοῖς. 6 εἶπεν δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ

---

v.54 Ἰησοῦς^{nnms} οὖν^{c} οὐκέτι^{bo} παρρησίᾳ^{ndfs} περιπατέω^{viia3s} ἐν^{p} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} ἀλλά^{c} ἀπέρχομαι^{viaa3s} ἐκεῖθεν^{bo} εἰς^{p} ὁ^{dafs} χώρα^{nafs} ἐγγύς^{bo} ὁ^{dgfs} ἔρημος^{agfsn} εἰς^{p} Ἐφραίμ^{tp} λέγω^{vpppafs} πόλις^{nafs} κἀκεῖ^{bo} διατρίβω^{viia3s} μετά^{p} ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms}. **v.55** εἰμί^{viix3s} δέ^{c} ἐγγύς^{bo} ὁ^{dnns} πάσχα^{ta} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} καί^{c} ἀναβαίνω^{viaa3p} πολύς^{anmpn} εἰς^{p} Ἰεροσόλυμα^{nafs} ἐκ^{p} ὁ^{dgfs} χώρα^{ngfs} πρό^{p} ὁ^{dgms} πάσχα^{ta} ἵνα^{c} ἁγνίζω^{vsaa3p} ἑαυτοῦ^{rxamp}. **v.56** ζητέω^{viia3p} οὖν^{c} ὁ^{dams} Ἰησοῦς^{nams} καί^{c} λέγω^{viia3p} μετά^{p} ἀλλήλων^{regmp} ἐν^{p} ὁ^{ddns} ἱερόν^{ndns} ἵστημι^{vpxanmp} τίς^{rqans} δοκέω^{vipa3s} σύ$^{rpd-p}$ ὅτι^{c} οὐ^{xo} μή^{xo} ἔρχομαι^{vsaa3s} εἰς^{p} ὁ^{dafs} ἑορτή^{nafs}. **v.57** δίδωμι^{viya3p} δέ^{c} καί^{c} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} καί^{c} ὁ^{dnmp} Φαρισαῖος^{nnmp} ἐντολή^{nafs} ἵνα^{c} ἐάν^{qo} τι-σρινμσ γινώσκω^{vsaa3s} ποῦ^{xo} εἰμί^{vipx3s} μηνύω^{vsaa3s} ὅπως^{bo} πιάζω^{vsaa3p} αὐτός^{rpams}. **12. v.1** ὁ^{dnms} οὖν^{c} Ἰησοῦς^{nnms} πρό^{p} ἕξ^{tn} ἡμέρα^{ngfp} ὁ^{dgms} πάσχα^{ta} ἔρχομαι^{viaa3s} εἰς^{p} Βηθανία^{nafs} ὅπου^{bo} εἰμί^{viix3s} Λάζαρος^{nnms} ὁ^{dnms} θνήσκω^{vpxanms} ὅς^{rrams} ἐγείρω^{viaa3s} ἐκ^{p} νεκρός^{agmpn}. **v.2** ποιέω^{viaa3p} οὖν^{c} αὐτός^{rpdms} δεῖπνον^{nans} ἐκεῖ^{bo} καί^{c} ὁ^{dnfs} Μάρθα^{nnfs} διακονέω^{viia3s} ὁ^{dnms} δέ^{c} Λάζαρος^{nnms} εἷς^{nnms} εἰμί^{viix3s} ὁ^{dgmp} ἀνάκειμαι^{vppngmp} σύν^{p} αὐτός^{rpdms}. **v.3** ὁ^{dnfs} οὖν^{c} Μαρία^{nnfs} λαμβάνω^{vpaanfs} λίτρα^{nafs} μύρον^{ngns} νάρδος^{ngfs} πιστικός^{agfsn} πολύτιμος^{agfsn} ἀλείφω^{viaa3s} ὁ^{damp} πούς^{namp} ὁ^{dgms} Ἰησοῦς^{ngms} καί^{c} ἐκμάσσω^{viaa3s} ὁ^{ddfp} θρίξ^{ndfp} αὐτός^{rpgfs} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} ὁ^{dnfs} δέ^{c} οἰκία^{nnfs} πληρόω^{viap3s} ἐκ^{p} ὁ^{dgfs} ὀσμή^{ngfs} ὁ^{dgns} μύρον^{ngns}. **v.4** λέγω^{vipa3s} οὖν^{c} εἷς^{nnms} ἐκ^{p} ὁ^{dgmp} μαθητής^{ngmp} αὐτός^{rpgms} Ἰούδας^{nnms} Σίμων^{ngms} Ἰσκαριώθ^{nnms} ὁ^{dnms} μέλλω^{vppanms} αὐτός^{rpams} παραδίδωμι^{vnpa}. **v.5** διά^{p} τίς^{rqans} οὗτος^{rdnns} ὁ^{dnns} μύρον^{nnns} οὐ^{xo} πιπράσκω^{viap3s} τριακόσιοι^{ngmp} δηνάριον^{ngnp} καί^{c} δίδωμι^{viap3s} πτωχός^{admpn}.

ἀλλ ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχέν καὶ τὰ βαλ-
7 λόμενα ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς Ἄφες αὐτήν εἰς
8 τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετηρήκεν αὐτό, τοὺς
πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ ἑαυτῶν ἐμὲ δὲ οὐ πάντοτε
9 ἔχετε. Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ
ἐστιν καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον ἀλλ ἵνα καὶ τὸν
10 Λάζαρον ἴδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐβουλεύσαντο δὲ οἱ
11 ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν. ὅτι πολλοὶ
δι᾽ αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰη-
12 σοῦν. Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν
13 ἀκούσαντες ὅτι ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἔλαβον
τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ καὶ
ἔκραζον, Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
14 κυρίου βασιλεὺς τοῦ Ἰσραήλ. εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον
15 ἐκάθισεν ἐπ αὐτό καθώς ἐστιν γεγραμμένον. Μὴ φοβοῦ
θύγατερ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ
16 πῶλον ὄνου. ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ
πρῶτον ἀλλ ὅτε ἐδοξάσθη [ὁ] Ἰησοῦς τότε ἐμνήσθησαν ὅτι
ταῦτα ἦν ἐπ αὐτῷ γεγραμμένα καὶ ταῦτα ἐποίησαν αὐτῷ.
17 ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ αὐτοῦ ὅτε τὸν Λάζαρον

---

v.6 λέγω^{viaa3s} δέ^{c} οὗτος^{rdans} οὐ^{xo} ὅτι^{c} περί^{p} ὁ^{dgmp} πτωχός^{agmpn} μέλει^{viia3s} αὐτός^{rpdms} ἀλλά^{c} ὅτι^{c} κλέπτης^{nnms} εἰμί^{viix3s} καί^{c} ὁ^{dans} γλωσσόκομον^{nans} ἔχω^{viia3s} καί^{c} ὁ^{danp} βάλλω^{vpppanp} βαστάζω^{viia3s}. **v.7** λέγω^{viaa3s} οὖν^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἀφίημι^{vdaa2s} αὐτός^{rpafs} εἰς^{p} ὁ^{dafs} ἡμέρα^{nafs} ὁ^{dgms} ἐνταφιασμός^{ngms} ἐγώ$^{rpg-s}$ τηρέω^{vixa3s} αὐτός^{rpans}. **v.8** ὁ^{damp} πτωχός^{aampn} γάρ^{c} πάντοτε^{bo} ἔχω^{vipa2p} μετά^{p} ἑαυτοῦ^{rxgmp} ἐγώ$^{rpa-s}$ δέ^{c} οὐ^{xo} πάντοτε^{bo} ἔχω^{vipa2p}. **v.9** γινώσκω^{viaa3s} οὖν^{c} ὄχλος^{nnms} πολύς^{anmsn} ἐκ^{p} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} ὅτι^{c} ἐκεῖ^{bo} εἰμί^{vipx3s} καί^{c} ἔρχομαι^{viaa3p} οὐ^{xo} διά^{p} ὁ^{dams} Ἰησοῦς^{nams} μόνος^{bo} ἀλλά^{c} ἵνα^{c} καί^{c} ὁ^{dams} Λάζαρος^{nams} ὁράω^{vsaa3p} ὅς^{rrams} ἐγείρω^{viaa3s} ἐκ^{p} νεκρός^{agmpn}. **v.10** βουλεύομαι^{viad3p} δέ^{c} ὁ^{dnmp} ἀρχιερεύς^{nnmp} ἵνα^{c} καί^{c} ὁ^{dams} Λάζαρος^{nams} ἀποκτείνω^{vspa3p}. **v.11** ὅτι^{c} πολύς^{anmpn} διά^{p} αὐτός^{rpams} ὑπάγω^{viia3p} ὁ^{dgmp} Ἰουδαῖος^{agmpn} καί^{c} πιστεύω^{viia3p} εἰς^{p} ὁ^{dams} Ἰησοῦς^{nams}. **v.12** ὁ^{ddfs} ἐπαύριον^{bo} ὄχλος^{nnms} πολύς^{anmsn} ὁ^{dnms} ἔρχομαι^{vpaanms} εἰς^{p} ὁ^{dafs} ἑορτή^{nafs} ἀκούω^{vpaanmp} ὅτι^{c} ἔρχομαι^{vipn3s} Ἰησοῦς^{nnms} εἰς^{p} Ἱεροσόλυμα^{nafs}. **v.13** λαμβάνω^{viaa3p} ὁ^{danp} βάϊον^{nanp} ὁ^{dgmp} φοῖνιξ^{ngmp} καί^{c} ἐξέρχομαι^{viaa3p} εἰς^{p} ὑπάντησις^{nafs} αὐτός^{rpdms} καί^{c} κράζω^{viia3p} ὡσαννάth εὐλογέω^{vpxpnms} ὁ^{dnms} ἔρχομαι^{vppnnms} ἐν^{p} ὄνομα^{ndns} κύριος^{ngms} βασιλεύς^{nnms} ὁ^{dgms} Ἰσραήλ^{tp}. **v.14** εὑρίσκω^{vpaanms} δέ^{c} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὀνάριον^{nans} καθίζω^{viaa3s} ἐπί^{p} αὐτός^{rpans} καθώς^{bo} εἰμί^{vipx3s} γράφω^{vpxpnns}. **v.15** μή^{xo} φοβέομαι^{vdpn2s} θυγάτηρ^{nvfs} Σιών^{tp} ἰδού^{vdaa2s} ὁ^{dnms} βασιλεύς^{nnms} σύ$^{rpg-s}$ ἔρχομαι^{vipn3s} κάθημαι^{vppnnms} ἐπί^{p} πῶλος^{nams} ὄνος^{ngfs}. **v.16** οὗτος^{rdanp} δέ^{c} οὐ^{xo} γινώσκω^{viaa3p} ὁ^{dnmp} μαθητής^{nnmp} αὐτός^{rpgms} ὁ^{dans} πρῶτος^{aansn} ἀλλά^{c} ὅτε^{bo} δοξάζω^{viap3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} τότε^{bo} μιμνήσκομαι^{viap3p} ὅτι^{c} οὗτος^{rdnnp} εἰμί^{viix3s} ἐπί^{p} αὐτός^{rpdms} γράφω^{vpxpnnp} καί^{c} οὗτος^{rdanp} ποιέω^{viaa3p} αὐτός^{rpdms}.

ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν.
διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος ὅτι ἤκουσεν τοῦτο 18
αὐτὸν πεποιηκέναι τὸ σημεῖον. οἱ οὖν Φαρισαῖοι εἶπον 19
πρὸς ἑαυτούς Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν, ἴδε ὁ κό-
σμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. Ἦσαν δὲ τινες Ἕλληνές ἐκ 20
τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ, οὗτοι 21
οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας
καὶ ἠρώτων αὐτὸν λέγοντες Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν.
ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ καὶ πάλιν Ἀνδρέας 22
καὶ Φίλιππος λέγουσιν τῷ Ἰησοῦ. ὁ δὲ Ἰησοῦς ἀπεκρί- 23
νατο αὐτοῖς λέγων Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ
ἀνθρώπου. ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ ὁ κόκκος τοῦ 24
σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ αὐτὸς μόνος μένει, ἐὰν δὲ
ἀποθάνῃ πολὺν καρπὸν φέρει. ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ 25
ἀπολέσει αὐτήν καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ
τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ἐὰν ἐμοί διακονῇ 26
τις ἐμοὶ ἀκολουθείτω καὶ ὅπου εἰμὶ ἐγὼ ἐκεῖ καὶ ὁ διάκονος
ὁ ἐμὸς ἔσται, καὶ ἐάν τις ἐμοὶ διακονῇ τιμήσει αὐτὸν ὁ πα-
τήρ. Νῦν ἡ ψυχή μου τετάρακται καὶ τί εἴπω Πάτερ σῶσόν 27
με ἐκ τῆς ὥρας ταύτης ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν

---

v.17 μαρτυρέω^{viia3s} οὖν^{c} ὁ^{dnms} ὄχλος^{nnms} ὁ^{dnms} εἰμί^{vppxnms} μετά^{p} αὐτός^{rpgms} ὅτε^{bo} ὁ^{dams} Λάζαρος^{nams} φωνέω^{viaa3s} ἐκ^{p} ὁ^{dgns} μνημεῖον^{ngns} καί^{c} ἐγείρω^{viaa3s} αὐτός^{rpams} ἐκ^{p} νεκρός^{agmpn}. **v.18** διά^{p} οὗτος^{rdans} καί^{c} ὑπαντάω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} ὄχλος^{nnms} ὅτι^{c} ἀκούω^{viaa3s} οὗτος^{rdans} αὐτός^{rpams} ποιέω^{vnxa} ὁ^{dans} σημεῖον^{nans}. **v.19** ὁ^{dnmp} οὖν^{c} Φαρισαῖος^{nnmp} λέγω^{viaa3p} πρός^{p} ἑαυτοῦ^{rxamp} θεωρέω^{vdpa2p} ὅτι^{c} οὐ^{xo} ὠφελέω^{vipa2p} οὐδείς^{aansn} ἴδε^{i} ὁ^{dnms} κόσμος^{nnms} ὀπίσω^{bo} αὐτός^{rpgms} ἀπέρχομαι^{viaa3s}. **v.20** εἰμί^{viix3p} δέ^{c} τι-σρινμπ Ἕλλην^{nnmp} ἐκ^{p} ὁ^{dgmp} ἀναβαίνω^{vppagmp} ἵνα^{c} προσκυνέω^{vsaa3p} ἐν^{p} ὁ^{ddfs} ἑορτή^{ndfs}. **v.21** οὗτος^{rdnmp} οὖν^{c} προσέρχομαι^{viaa3p} Φίλιππος^{ndms} ὁ^{ddms} ἀπό^{p} Βηθσαϊδά^{tp} ὁ^{dgfs} Γαλιλαία^{ngfs} καί^{c} ἐρωτάω^{viia3p} αὐτός^{rpams} λέγω^{vppanmp} κύριος^{nvms} θέλω^{vipa1p} ὁ^{dams} Ἰησοῦς^{nams} ὁράω^{vnaa}. **v.22** ἔρχομαι^{vipn3s} Φίλιππος^{nnms} καί^{c} λέγω^{vipa3s} ὁ^{ddms} Ἀνδρέας^{ndms} καί^{c} πάλιν^{bo} Ἀνδρέας^{nnms} καί^{c} Φίλιππος^{nnms} λέγω^{vipa3p} ὁ^{ddms} Ἰησοῦς^{ndms}. **v.23** ὁ^{dnms} δέ^{c} Ἰησοῦς^{nnms} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdmp} λέγω^{vppanms} ἔρχομαι^{vixa3s} ὁ^{dnfs} ὥρα^{nnfs} ἵνα^{c} δοξάζω^{vsap3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **v.24** ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-p}$ ἐάν^{qo} μή^{xo} ὁ^{dnms} κόκκος^{nnms} ὁ^{dgms} σῖτος^{ngms} πίπτω^{vpaanms} εἰς^{p} ὁ^{dafs} γῆ^{nafs} ἀποθνήσκω^{vsaa3s} αὐτός^{rpnms} μόνος^{anmsn} μένω^{vipa3s} ἐάν^{qo} δέ^{c} ἀποθνήσκω^{vsaa3s} πολύς^{aamsn} καρπός^{nams} φέρω^{vipa3s}. **v.25** ὁ^{dnms} φιλέω^{vppanms} ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} ἀπόλλυμι^{vifa3s} αὐτός^{rpafs} καί^{c} ὁ^{dnms} μισέω^{vppanms} ὁ^{dafs} ψυχή^{nafs} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} οὗτος^{rddms} εἰς^{p} ζωή^{nafs} αἰώνιος^{aafsn} φυλάσσω^{vifa3s} αὐτός^{rpafs}. **v.26** ἐάν^{qo} ἐγώ$^{rpd-s}$ διακονέω^{vspa3s} τι-σρινμσ ἐγώ$^{rpd-s}$ ἀκολουθέω^{vdpa3s} καί^{c} ὅπου^{bo} εἰμί^{vipx1s} ἐγώ$^{rpn-s}$ ἐκεῖ^{bo} καί^{c} ὁ^{dnms} διάκονος^{nnms} ὁ^{dnms} ἐμός^{rsnms} εἰμί^{vifx3s} καί^{c} ἐάν^{qo} τι-σρινμσ ἐγώ$^{rpd-s}$ διακονέω^{vspa3s} τιμάω^{vifa3s} αὐτός^{rpams} ὁ^{dnms} πατήρ^{nnms}.

28 ταύτην. πάτερ δόξασόν σου τὸ ὄνομα ἦλθεν οὖν φωνὴ ἐκ
29 τοῦ οὐρανοῦ Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. ὁ οὖν ὄχλος
ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγεν βροντὴν γεγονέναι ἄλλοι ἔλε-
30 γον Ἄγγελος αὐτῷ λελάληκεν. ἀπεκρίθη [ὁ] Ἰησοῦς καὶ
31 εἶπεν Οὐ δι᾽ ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν ἀλλὰ δι᾽ ὑμᾶς. νῦν
κρίσις ἐστὶν τοῦ κόσμου τούτου νῦν ὁ ἄρχων τοῦ κόσμου
32 τούτου ἐκβληθήσεται ἔξω, κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς
33 πάντας ἑλκύσω πρὸς ἐμαυτόν. τοῦτο δὲ ἔλεγεν σημαίνων
34 ποίῳ θανάτῳ ἔμελλεν ἀποθνῄσκειν. ἀπεκρίθη αὐτῷ ὁ ὄ-
χλος Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει
εἰς τὸν αἰῶνα καὶ πῶς σὺ λέγεις δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ
35 ἀνθρώπου τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου. εἶπεν οὖν
αὐτοῖς ὁ Ἰησοῦς Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ᾽ ὑμῶν ἐστιν
περιπατεῖτε ἕως τὸ φῶς ἔχετε ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ,
36 καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει. ἕως
τὸ φῶς ἔχετε πιστεύετε εἰς τὸ φῶς ἵνα υἱοὶ φωτὸς γένησθε
Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς καὶ ἀπελθὼν ἐκρύβη ἀπ αὐτῶν.
37 Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν
38 οὐκ ἐπίστευον εἰς αὐτόν. ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφή-

---

v.27 νῦν^{bo} ὁ^{dnfs} ψυχή^{nnfs} ἐγώ$^{rpg\text{-}s}$ ταράσσω^{vixp3s} καί^{c} τίς^{rqans} λέγω^{vsaa1s} πατήρ^{nvms} σῴζω^{vdaa2s} ἐγώ$^{rpa\text{-}s}$ ἐκ^{p} ὁ^{dgfs} ὥρα^{ngfs} οὗτος^{rdgfs} ἀλλά^{c} διά^{p} οὗτος^{rdans} ἔρχομαι^{viaa1s} εἰς^{p} ὁ^{dafs} ὥρα^{nafs} οὗτος^{rdafs}. **v.28** πατήρ^{nvms} δοξάζω^{vdaa2s} σύ$^{rpg\text{-}s}$ ὁ^{dans} ὄνομα^{nans} ἔρχομαι^{viaa3s} οὖν^{c} φωνή^{nnfs} ἐκ^{p} ὁ^{dgms} οὐρανός^{ngms} καί^{c} δοξάζω^{viaa1s} καί^{c} πάλιν^{bo} δοξάζω^{vifa1s}. **v.29** ὁ^{dnms} οὖν^{c} ὄχλος^{nnms} ὁ^{dnms} ἵστημι^{vpxanms} καί^{c} ἀκούω^{vpaanms} λέγω^{viia3s} βροντή^{nafs} γίνομαι^{vnxa} ἄλλος^{anmpn} λέγω^{viia3p} ἄγγελος^{nnms} αὐτός^{rpdms} λαλέω^{vixa3s}. **v.30** ἀποκρίνομαι^{viad3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} οὐ^{xo} διά^{p} ἐγώ$^{rpa\text{-}s}$ οὗτος^{rdnfs} ὁ^{dnfs} φωνή^{nnfs} γίνομαι^{vixa3s} ἀλλά^{c} διά^{p} σύ$^{rpa\text{-}p}$. **v.31** νῦν^{bo} κρίσις^{nnfs} εἰμί^{vipx3s} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} νῦν^{bo} ὁ^{dnms} ἄρχων^{nnms} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} ἐκβάλλω^{vifp3s} ἔξω^{bo}. **v.32** κἀγώ$^{rpn\text{-}s}$ ἐάν^{qo} ὑψόω^{vsap1s} ἐκ^{p} ὁ^{dgfs} γῆ^{ngfs} πᾶς^{aampn} ἕλκω^{vifa1s} πρός^{p} ἐμαυτοῦ^{rxams}. **v.33** οὗτος^{rdans} δέ^{c} λέγω^{viia3s} σημαίνω^{vppanms} ποῖος^{rqdms} θάνατος^{ndms} μέλλω^{viia3s} ἀποθνῄσκω^{vnpa}. **v.34** ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} ὄχλος^{nnms} ἐγώ$^{rpn\text{-}p}$ ἀκούω^{viaa1p} ἐκ^{p} ὁ^{dgms} νόμος^{ngms} ὅτι^{c} ὁ^{dnms} Χριστός^{nnms} μένω^{vipa3s} εἰς^{p} ὁ^{dams} αἰών^{nams} καί^{c} πῶς^{bo} σύ$^{rpn\text{-}s}$ λέγω^{vipa2s} δεῖ^{vipq3s} ὑψόω^{vnap} ὁ^{dams} υἱός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} τίς^{rqnms} εἰμί^{vipx3s} οὗτος^{rdnms} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms}. **v.35** λέγω^{viaa3s} οὖν^{c} αὐτός^{rpdmp} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἔτι^{bo} μικρός^{aamsn} χρόνος^{nams} ὁ^{dnns} φῶς^{nnns} μετά^{p} σύ$^{rpg\text{-}p}$ εἰμί^{vipx3s} περιπατέω^{vdpa2p} ἕως^{c} ὁ^{dans} φῶς^{nans} ἔχω^{vipa2p} ἵνα^{c} μή^{xo} σκοτία^{nnfs} σύ$^{rpa\text{-}p}$ καταλαμβάνω^{vsaa3s} καί^{c} ὁ^{dnms} περιπατέω^{vppanms} ἐν^{p} ὁ^{ddfs} σκοτία^{ndfs} οὐ^{xo} οἶδα^{vixa3s} ποῦ^{xo} ὑπάγω^{vipa3s}. **v.36** ἕως^{c} ὁ^{dans} φῶς^{nans} ἔχω^{vipa2p} πιστεύω^{vdpa2p} εἰς^{p} ὁ^{dans} φῶς^{nans} ἵνα^{c} υἱός^{nnmp} φῶς^{ngns} γίνομαι^{vsad2p} οὗτος^{rdanp} λαλέω^{viaa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} καί^{c} ἀπέρχομαι^{vpaanms} κρύπτω^{viap3s} ἀπό^{p} αὐτός^{rpgmp}. **v.37** τοσοῦτος^{rdanp} δέ^{c} αὐτός^{rpgms} σημεῖον^{nanp} ποιέω^{vpxagms} ἔμπροσθεν^{p} αὐτός^{rpgmp} οὐ^{xo} πιστεύω^{viia3p} εἰς^{p} αὐτός^{rpams}.

του πληρωθῇ ὃν εἶπεν Κύριε τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη. διὰ τοῦτο οὐκ 39
ἠδύναντο πιστεύειν ὅτι πάλιν εἶπεν Ἡσαΐας. Τετύφλωκεν 40
αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν
ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ καὶ
ἐπιστραφῶσιν καὶ ἰάσωμαι αὐτούς. ταῦτα εἶπεν Ἡσαΐας 41
ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ. ὅμως 42
μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν
ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν ἵνα μὴ ἀποσυν-
άγωγοι γένωνται, ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων 43
μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ. Ἰησοῦς δὲ ἔκραξεν καὶ 44
εἶπεν Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλ᾽ εἰς τὸν
πέμψαντά με. καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά 45
με. ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα ἵνα πᾶς ὁ πιστεύων 46
εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. καὶ ἐάν τίς μου ἀκούσῃ 47
τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν οὐ γὰρ
ἦλθον ἵνα κρίνω τὸν κόσμον ἀλλ ἵνα σώσω τὸν κόσμον. ὁ 48
ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου ἔχει τὸν κρί-
νοντα αὐτόν, ὁ λόγος ὃν ἐλάλησα ἐκεῖνος κρινεῖ αὐτὸν ἐν
τῇ ἐσχάτῃ ἡμέρᾳ. ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα ἀλλ ὁ 49

---

v.38 ἵνα^{c} ὁ^{dnms} λόγος^{nnms} Ἡσαΐας^{ngms} ὁ^{dgms} προφήτης^{ngms} πληρόω^{vsap3s} ὅς^{rrams} λέγω^{viaa3s} κύριος^{nvms} τίς^{rqnms} πιστεύω^{viaa3s} ὁ^{ddfs} ἀκοή^{ndfs} ἐγώ$^{rpg-p}$ καί^{c} ὁ^{dnms} βραχίων^{nnms} κύριος^{ngms} τίς^{rqdms} ἀποκαλύπτω^{viap3s}. **v.39** διά^{p} οὗτος^{rdans} οὐ^{xo} δύναμαι^{viin3p} πιστεύω^{vnpa} ὅτι^{c} πάλιν^{bo} λέγω^{viaa3s} Ἡσαΐας^{nnms}. **v.40** τυφλόω^{vixa3s} αὐτός^{rpgmp} ὁ^{damp} ὀφθαλμός^{namp} καί^{c} πωρόω^{vixa3s} αὐτός^{rpgmp} ὁ^{dafs} καρδία^{nafs} ἵνα^{c} μή^{xo} ὁράω^{vsaa3p} ὁ^{ddmp} ὀφθαλμός^{ndmp} καί^{c} νοέω^{vsaa3p} ὁ^{ddfs} καρδία^{ndfs} καί^{c} ἐπιστρέφω^{vsap3p} καί^{c} ἰάομαι^{vsad1s} αὐτός^{rpamp}. **v.41** οὗτος^{rdanp} λέγω^{viaa3s} Ἡσαΐας^{nnms} ὅτε^{bo} ὁράω^{viaa3s} ὁ^{dafs} δόξα^{nafs} αὐτός^{rpgms} καί^{c} λαλέω^{viaa3s} περί^{p} αὐτός^{rpgms}. **v.42** ὅμως^{c} μέντοι^{c} καί^{c} ἐκ^{p} ὁ^{dgmp} ἄρχων^{ngmp} πολύς^{anmpn} πιστεύω^{viaa3p} εἰς^{p} αὐτός^{rpams} ἀλλά^{c} διά^{p} ὁ^{damp} Φαρισαῖος^{namp} οὐ^{xo} ὁμολογέω^{viia3p} ἵνα^{c} μή^{xo} ἀποσυνάγωγος^{anmpn} γίνομαι^{vsad3p}. **v.43** ἀγαπάω^{viaa3p} γάρ^{c} ὁ^{dafs} δόξα^{nafs} ὁ^{dgmp} ἄνθρωπος^{ngmp} μᾶλλον^{bo} ἤπερ^{xo} ὁ^{dafs} δόξα^{nafs} ὁ^{dgms} θεός^{ngms}. **v.44** Ἰησοῦς^{nnms} δέ^{c} κράζω^{viaa3s} καί^{c} λέγω^{viaa3s} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ἐγώ$^{rpa-s}$ οὐ^{xo} πιστεύω^{vipa3s} εἰς^{p} ἐγώ$^{rpa-s}$ ἀλλά^{c} εἰς^{p} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa-s}$. **v.45** καί^{c} ὁ^{dnms} θεωρέω^{vppanms} ἐγώ$^{rpa-s}$ θεωρέω^{vipa3s} ὁ^{dams} πέμπω^{vpaaams} ἐγώ$^{rpa-s}$. **v.46** ἐγώ$^{rpn-s}$ φῶς^{nans} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} ἔρχομαι^{vixa1s} ἵνα^{c} πᾶς^{anmsn} ὁ^{dnms} πιστεύω^{vppanms} εἰς^{p} ἐγώ$^{rpa-s}$ ἐν^{p} ὁ^{ddfs} σκοτία^{ndfs} μή^{xo} μένω^{vsaa3s}. **v.47** καί^{c} ἐάν^{qo} τίς^{rinms} ἐγώ$^{rpg-s}$ ἀκούω^{vsaa3s} ὁ^{dgnp} ῥῆμα^{ngnp} καί^{c} μή^{xo} πιστεύω^{vsaa3s} ἐγώ$^{rpn-s}$ οὐ^{xo} κρίνω^{vipa1s} αὐτός^{rpams} οὐ^{xo} γάρ^{c} ἔρχομαι^{viaa1s} ἵνα^{c} κρίνω^{vspa1s} ὁ^{dams} κόσμος^{nams} ἀλλά^{c} ἵνα^{c} σῴζω^{vsaa1s} ὁ^{dams} κόσμος^{nams}. **v.48** ὁ^{dnms} ἀθετέω^{vppanms} ἐγώ$^{rpa-s}$ καί^{c} μή^{xo} λαμβάνω^{vppanms} ὁ^{danp} ῥῆμα^{nanp} ἐγώ$^{rpg-s}$ ἔχω^{vipa3s} ὁ^{dams} κρίνω^{vppaams} αὐτός^{rpams} ὁ^{dnms} λόγος^{nnms} ὅς^{rrams} λαλέω^{viaa1s} ἐκεῖνος^{rdnms} κρίνω^{vifa3s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddfs} ἔσχατος^{adfsn} ἡμέρα^{ndfs}.

πέμψας με πατὴρ αὐτός μοι ἐντολὴν ἔδωκεν τί εἴπω καὶ τί
50 λαλήσω. καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν ἃ
οὖν λαλῶ ἐγὼ καθὼς εἴρηκέν μοι ὁ πατὴρ οὕτως λαλῶ.

13 Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυ-
θεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν
πατέρα ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος
2 ἠγάπησεν αὐτούς. καὶ δείπνου γενομένου, τοῦ διαβόλου
ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώ-
3 του ἵνα αὐτὸν παραδῷ, εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν
αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ
4 πρὸς τὸν θεὸν ὑπάγει. ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τί-
5 θησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν, εἶτα
βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς πόδας
τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.
6 ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος,
7 Κύριε σύ μου νίπτεις τοὺς πόδας. ἀπεκρίθη Ἰησοῦς καὶ
εἶπεν αὐτῷ Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι γνώσῃ δὲ μετὰ
8 ταῦτα. λέγει αὐτῷ Πέτρος Οὐ μὴ νίψῃς τοὺς πόδας μου
εἰς τὸν αἰῶνα ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ἐὰν μὴ νίψω σε οὐκ

---

v.49 ὅτι^{c} ἐγώ$^{rpn\text{-}s}$ ἐκ^{p} ἐμαυτοῦ^{rxgms} οὐ^{xo} λαλέω^{viaa1s} ἀλλά^{c} ὁ^{dnms} πέμπω^{vpaanms} ἐγώ$^{rpa\text{-}s}$ πατήρ^{nnms} αὐτός^{rpnms} ἐγώ$^{rpd\text{-}s}$ ἐντολή^{nafs} δίδωμι^{viaa3s} τίς^{rqans} λέγω^{vsaa1s} καί^{c} τίς^{rqans} λαλέω^{vsaa1s}. **v.50** καί^{c} οἶδα^{vixa1s} ὅτι^{c} ὁ^{dnfs} ἐντολή^{nnfs} αὐτός^{rpgms} ζωή^{nnfs} αἰώνιος^{anfsn} εἰμί^{vipx3s} ὅς^{rranp} οὖν^{c} λαλέω^{vipa1s} ἐγώ$^{rpn\text{-}s}$ καθώς^{bo} λέγω^{vixa3s} ἐγώ$^{rpd\text{-}s}$ ὁ^{dnms} πατήρ^{nnms} οὗτος^{bo} λαλέω^{vipa1s}. **13. v.1** πρό^{p} δέ^{c} ὁ^{dgfs} ἑορτή^{ngfs} ὁ^{dgms} πάσχα^{ta} οἶδα^{vpxanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} ἔρχομαι^{vixa3s} αὐτός^{rpgms} ὁ^{dnfs} ὥρα^{nnfs} ἵνα^{c} μεταβαίνω^{vsaa3s} ἐκ^{p} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} πρός^{p} ὁ^{dams} πατήρ^{nams} ἀγαπάω^{vpaanms} ὁ^{damp} ἴδιος^{aampn} ὁ^{damp} ἐν^{p} ὁ^{ddms} κόσμος^{ndms} εἰς^{p} τέλος^{nans} ἀγαπάω^{viaa3s} αὐτός^{rpamp}. **v.2** καί^{c} δεῖπνον^{ngns} γίνομαι^{vpadgns} ὁ^{dgms} διάβολος^{agmsn} ἤδη^{bo} βάλλω^{vpxagms} εἰς^{p} ὁ^{dafs} καρδία^{nafs} Ἰούδας^{ngms} Σίμων^{ngms} Ἰσκαριώθ^{ngms} ἵνα^{c} αὐτός^{rpams} παραδίδωμι^{vsaa3s}. **v.3** οἶδα^{vpxanms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅτι^{c} πᾶς^{aanpn} δίδωμι^{vixa3s} αὐτός^{rpdms} ὁ^{dnms} πατήρ^{nnms} εἰς^{p} ὁ^{dafp} χείρ^{nafp} καί^{c} ὅτι^{c} ἀπό^{p} θεός^{ngms} ἐξέρχομαι^{viaa3s} καί^{c} πρός^{p} ὁ^{dams} θεός^{nams} ὑπάγω^{vipa3s}. **v.4** ἐγείρω^{vipp3s} ἐκ^{p} ὁ^{dgns} δεῖπνον^{ngns} καί^{c} τίθημι^{vipa3s} ὁ^{danp} ἱμάτιον^{nanp} καί^{c} λαμβάνω^{vpaanms} λέντιον^{nans} διαζώννυμι^{viaa3s} ἑαυτοῦ^{rxams}. **v.5** εἶτα^{bo} βάλλω^{vipa3s} ὕδωρ^{nans} εἰς^{p} ὁ^{dams} νιπτήρ^{nams} καί^{c} ἄρχω^{viad3s} νίπτω^{vnpa} ὁ^{damp} πούς^{namp} ὁ^{dgmp} μαθητής^{ngmp} καί^{c} ἐκμάσσω^{vnpa} ὁ^{ddns} λέντιον^{ndns} ὅς^{rrdns} εἰμί^{viix3s} διαζώννυμι^{vpxpnms}. **v.6** ἔρχομαι^{vipn3s} οὖν^{c} πρός^{p} Σίμων^{nams} Πέτρος^{nams} καί^{c} λέγω^{vipa3s} αὐτός^{rpdms} ἐκεῖνος^{rdnms} κύριος^{nvms} σύ$^{rpn\text{-}s}$ ἐγώ$^{rpg\text{-}s}$ νίπτω^{vipa2s} ὁ^{damp} πούς^{namp}. **v.7** ἀποκρίνομαι^{viad3s} Ἰησοῦς^{nnms} καί^{c} λέγω^{viaa3s} αὐτός^{rpdms} ὅς^{rrans} ἐγώ$^{rpn\text{-}s}$ ποιέω^{vipa1s} σύ$^{rpn\text{-}s}$ οὐ^{xo} οἶδα^{vixa2s} ἄρτι^{bo} γινώσκω^{vifd2s} δέ^{c} μετά^{p} οὗτος^{rdanp}.

ἔχεις μέρος μετ ἐμοῦ. λέγει αὐτῷ Σίμων Πέτρος Κύριε μὴ 9
τοὺς πόδας μου μόνον ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφα-
λήν. λέγει αὐτῷ ὁ Ἰησοῦς Ὁ λελουμένος οὐ χρείαν ἔχει 10
ἢ τοὺς πόδας νίψασθαι ἀλλ ἔστιν καθαρὸς ὅλος, καὶ ὑμεῖς
καθαροί ἐστε ἀλλ οὐχὶ πάντες. ᾔδει γὰρ τὸν παραδιδόντα 11
αὐτόν, διὰ τοῦτο εἶπεν Οὐχὶ πάντες καθαροί ἐστε. Ὅτε 12
οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν καὶ ἔλαβεν τὰ ἱμάτια αὐτοῦ
ἀναπεσών πάλιν εἶπεν αὐτοῖς Γινώσκετε τί πεποίηκα ὑμῖν.
ὑμεῖς φωνεῖτέ με Ὁ διδάσκαλος καὶ Ὁ κύριος καὶ καλῶς 13
λέγετε εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύ- 14
ριος καὶ ὁ διδάσκαλος καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν
τοὺς πόδας, ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν ἵνα καθὼς ἐγὼ ἐ- 15
ποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε. ἀμὴν ἀμὴν λέγω ὑμῖν οὐκ 16
ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστολος μεί-
ζων τοῦ πέμψαντος αὐτόν. εἰ ταῦτα οἴδατε μακάριοί ἐστε 17
ἐὰν ποιῆτε αὐτά. οὐ περὶ πάντων ὑμῶν λέγω, ἐγὼ οἶδα οὓς 18
ἐξελεξάμην, ἀλλ ἵνα ἡ γραφὴ πληρωθῇ Ὁ τρώγων μετ ἐμοῦ
τὸν ἄρτον ἐπῆρεν ἐπ ἐμὲ τὴν πτέρναν αὐτοῦ. ἀπ ἄρτι λέγω 19
ὑμῖν πρὸ τοῦ γενέσθαι ἵνα ὅταν γένηται πιστεύσητε ὅτι ἐγώ

---

v.8 λέγω^{vipa3s} αὐτός^{rpdms} Πέτρος^{nnms} οὐ^{xo} μή^{xo} νίπτω^{vsaa2s} ὁ^{damp} πούς^{namp} ἐγώ$^{rpg\text{-}s}$ εἰς^{p} ὁ^{dams} αἰών^{nams} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ἐάν^{qo} μή^{xo} νίπτω^{vsaa1s} σύ$^{rpa\text{-}s}$ οὐ^{xo} ἔχω^{vipa2s} μέρος^{nans} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$. **v.9** λέγω^{vipa3s} αὐτός^{rpdms} Σίμων^{vnms} Πέτρος^{nnms} κύριος^{nvms} μή^{xo} ὁ^{damp} πούς^{namp} ἐγώ$^{rpg\text{-}s}$ μόνος^{bo} ἀλλά^{c} καί^{c} ὁ^{dafp} χείρ^{nafp} καί^{c} ὁ^{dafs} κεφαλή^{nafs}. **v.10** λέγω^{vipa3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dnms} λούω^{vpxpnms} ὅς^{xo} χρεία^{nafs} ἔχω^{vipa3s} ἤ^{xo} ὁ^{damp} πούς^{namp} νίπτω^{vnam} ἀλλά^{c} εἰμί^{vipx3s} καθαρός^{anmsn} ὅλος^{anmsn} καί^{c} σύ$^{rpn\text{-}p}$ καθαρός^{anmpn} εἰμί^{vipx2p} ἀλλά^{c} οὐχί^{xo} πᾶς^{anmpn}. **v.11** οἶδα^{viya3s} γάρ^{c} ὁ^{dams} παραδίδωμι^{vppaams} αὐτός^{rpams} διά^{p} οὗτος^{rdans} λέγω^{viaa3s} οὐχί^{xo} πᾶς^{anmpn} καθαρός^{anmpn} εἰμί^{vipx2p}. **v.12** ὅτε^{bo} οὖν^{c} νίπτω^{viaa3s} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgmp} καί^{c} λαμβάνω^{viaa3s} ὁ^{danp} ἱμάτιον^{nanp} αὐτός^{rpgms} ἀναπίπτω^{vpaanms} πάλιν^{bo} λέγω^{viaa3s} αὐτός^{rpdmp} γινώσκω^{vdpa2p} τίς^{rqans} ποιέω^{vixa1s} σύ$^{rpd\text{-}p}$. **v.13** σύ$^{rpn\text{-}p}$ φωνέω^{vipa2p} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} διδάσκαλος^{nnms} καί^{c} ὁ^{dnms} κύριος^{nnms} καί^{c} καλῶς^{bo} λέγω^{vipa2p} εἰμί^{vipx1s} γάρ^{c}. **v.14** εἰ^{qo} οὖν^{c} ἐγώ$^{rpn\text{-}s}$ νίπτω^{viaa1s} σύ$^{rpg\text{-}p}$ ὁ^{damp} πούς^{namp} ὁ^{dnms} κύριος^{nnms} καί^{c} ὁ^{dnms} διδάσκαλος^{nnms} καί^{c} σύ$^{rpn\text{-}p}$ ὀφείλω^{vipa2p} ἀλλήλων^{regmp} νίπτω^{vnpa} ὁ^{damp} πούς^{namp}. **v.15** ὑπόδειγμα^{nans} γάρ^{c} δίδωμι^{viaa1s} σύ$^{rpd\text{-}p}$ ἵνα^{c} καθώς^{bo} ἐγώ$^{rpn\text{-}s}$ ποιέω^{viaa1s} σύ$^{rpd\text{-}p}$ καί^{c} σύ$^{rpn\text{-}p}$ ποιέω^{vspa2p}. **v.16** ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd\text{-}p}$ οὐ^{xo} εἰμί^{vipx3s} δοῦλος^{nnms} μέγας^{anmsc} ὁ^{dgms} κύριος^{ngms} αὐτός^{rpgms} οὐδέ^{bo} ἀπόστολος^{nnms} μέγας^{anmsc} ὁ^{dgms} πέμπω^{vpaagms} αὐτός^{rpams}. **v.17** εἰ^{qo} οὗτος^{rdanp} οἶδα^{vixa2p} μακάριος^{anmpn} εἰμί^{vipx2p} ἐάν^{qo} ποιέω^{vspa2p} αὐτός^{rpanp}. **v.18** οὐ^{xo} περί^{p} πᾶς^{agmpn} σύ$^{rpg\text{-}p}$ λέγω^{vipa1s} ἐγώ$^{rpn\text{-}s}$ οἶδα^{vixa1s} ὅς^{rramp} ἐκλέγω^{viam1s} ἀλλά^{c} ἵνα^{c} ὁ^{dnfs} γραφή^{nnfs} πληρόω^{vsap3s} ὁ^{dnms} τρώγω^{vppanms} μετά^{p} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dams} ἄρτος^{nams} ἐπαίρω^{viaa3s} ἐπί^{p} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dafs} πτέρνα^{nafs} αὐτός^{rpgms}.

20 εἰμι. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ λαμβάνων ἐάν τινα πέμψω
ἐμὲ λαμβάνει ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά
21 με. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι καὶ ἐ-
μαρτύρησεν καὶ εἶπεν Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν
22 παραδώσει με. ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ ἀ-
23 πορούμενοι περὶ τίνος λέγει. ἦν δὲ ἀνακείμενος εἷς τῶν
μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ ὃν ἠγάπα ὁ Ἰησοῦς,
24 νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ οὗ
25 λέγει. ἐπιπεσὼν δὲ ἐκεῖνος οὕτως ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ
26 λέγει αὐτῷ Κύριε τίς ἐστιν. ἀποκρίνεται ὁ Ἰησοῦς Ἐκεῖ-
νός ἐστιν ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. καὶ ἐμβάψας
27 τὸ ψωμίον δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. καὶ μετὰ
τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς λέγει οὖν
28 αὐτῷ ὁ Ἰησοῦς Ὃ ποιεῖς ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς
29 ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ, τινὲς γὰρ ἐδό-
κουν ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας ὅτι λέγει αὐτῷ ὁ
Ἰησοῦς Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν ἢ τοῖς
30 πτωχοῖς ἵνα τι δῷ. λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος εὐθέως
31 ἐξῆλθεν ἦν δὲ νύξ. Ὅτε ἐξῆλθεν λέγει ὁ Ἰησοῦς Νῦν ἐδοξά-

---

v.19 ἀπόᵖ ἄρτιᵇᵒ λέγωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ πρόᵖ ὁᵈᵍᵐˢ γίνομαιᵛⁿᵃᵈ ἵναᶜ ὅτανᶜ γίνομαιᵛˢᵃᵈ³ˢ πιστεύωᵛˢᵃᵃ²ᵖ ὅτιᶜ ἐγώʳᵖⁿ⁻ˢ εἰμίᵛⁱᵖˣ¹ˢ. **v.20** ἀμὴνᵗʰ ἀμὴνᵗʰ λέγωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ ὁᵈⁿᵐˢ λαμβάνωᵛᵖᵖᵃⁿᵐˢ ἐάνᵠᵒ τι-σριαμσ πέμπωᵛˢᵃᵃ¹ˢ ἐγώʳᵖᵃ⁻ˢ λαμβάνωᵛⁱᵖᵃ³ˢ ὁᵈⁿᵐˢ δέᶜ ἐγώʳᵖᵃ⁻ˢ λαμβάνωᵛᵖᵖᵃⁿᵐˢ λαμβάνωᵛⁱᵖᵃ³ˢ ὁᵈᵃᵐˢ πέμπωᵛᵖᵃᵃᵃᵐˢ ἐγώʳᵖᵃ⁻ˢ. **v.21** οὗτοςʳᵈᵃⁿᵖ λέγωᵛᵖᵃᵃⁿᵐˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ ταράσσωᵛⁱᵃᵖ³ˢ ὁᵈᵈⁿˢ πνεῦμαⁿᵈⁿˢ καίᶜ μαρτυρέωᵛⁱᵃᵃ³ˢ καίᶜ λέγωᵛⁱᵃᵃ³ˢ ἀμὴνᵗʰ ἀμὴνᵗʰ λέγωᵛⁱᵖᵃ¹ˢ σύʳᵖᵈ⁻ᵖ ὅτιᶜ εἷςⁿⁿᵐˢ ἐκᵖ σύʳᵖᵍ⁻ᵖ παραδίδωμιᵛⁱᶠᵃ³ˢ ἐγώʳᵖᵃ⁻ˢ. **v.22** βλέπωᵛⁱⁱᵃ³ᵖ οὖνᶜ εἰςᵖ ἀλλήλωνʳᵉᵃᵐᵖ ὁᵈⁿᵐᵖ μαθητήςⁿⁿᵐᵖ ἀπορέωᵛᵖᵖᵐⁿᵐᵖ περίᵖ τίςʳᵠᵍᵐˢ λέγωᵛⁱᵖᵃ³ˢ. **v.23** εἰμίᵛⁱⁱˣ³ˢ δέᶜ ἀνάκειμαιᵛᵖᵖⁿⁿᵐˢ εἷςⁿⁿᵐˢ ὁᵈᵍᵐᵖ μαθητήςⁿᵍᵐᵖ αὐτόςʳᵖᵍᵐˢ ἐνᵖ ὁᵈᵈᵐˢ κόλποςⁿᵈᵐˢ ὁᵈᵍᵐˢ Ἰησοῦςⁿᵍᵐˢ ὃςʳʳᵃᵐˢ ἀγαπάωᵛⁱⁱᵃ³ˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ. **v.24** νεύωᵛⁱᵖᵃ³ˢ οὖνᶜ οὗτοςʳᵈᵈᵐˢ Σίμωνⁿⁿᵐˢ Πέτροςⁿⁿᵐˢ πυνθάνομαιᵛⁿᵃᵈ τίςʳᵠⁿᵐˢ ἄνˣᵒ εἰμίᵛᵒᵖˣ³ˢ περίᵖ ὅςʳʳᵍᵐˢ λέγωᵛⁱᵖᵃ³ˢ. **v.25** ἐπιπίπτωᵛᵖᵃᵃⁿᵐˢ δέᶜ ἐκεῖνοςʳᵈⁿᵐˢ οὕτωᵇᵒ ἐπίᵖ ὁᵈᵃⁿˢ στῆθοςⁿᵃⁿˢ ὁᵈᵍᵐˢ Ἰησοῦςⁿᵍᵐˢ λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ κύριοςⁿᵛᵐˢ τίςʳᵠⁿᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ. **v.26** ἀποκρίνομαιᵛⁱᵖⁿ³ˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ ἐκεῖνοςʳᵈⁿᵐˢ εἰμίᵛⁱᵖˣ³ˢ ὅςʳʳᵈᵐˢ ἐγώʳᵖⁿ⁻ˢ βάπτωᵛᵖᵃᵃⁿᵐˢ ὁᵈᵃⁿˢ ψωμίονⁿᵃⁿˢ ἐπιδίδωμιᵛⁱᶠᵃ¹ˢ καίᶜ ἐμβάπτωᵛᵖᵃᵃⁿᵐˢ ὁᵈᵃⁿˢ ψωμίονⁿᵃⁿˢ δίδωμιᵛⁱᵖᵃ³ˢ Ἰούδαςⁿᵈᵐˢ Σίμωνⁿᵍᵐˢ Ἰσκαριώθⁿᵈᵐˢ. **v.27** καίᶜ μετάᵖ ὁᵈᵃⁿˢ ψωμίονⁿᵃⁿˢ τότεᵇᵒ εἰσέρχομαιᵛⁱᵃᵃ³ˢ εἰςᵖ ἐκεῖνοςʳᵈᵃᵐˢ ὁᵈⁿᵐˢ Σατανᾶςⁿⁿᵐˢ λέγωᵛⁱᵖᵃ³ˢ οὖνᶜ αὐτόςʳᵖᵈᵐˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ ὃςʳʳᵃⁿˢ ποιέωᵛⁱᵖᵃ²ˢ ποιέωᵛᵈᵃᵃ²ˢ ταχύςᵇᵒ. **v.28** οὗτοςʳᵈᵃⁿˢ δέᶜ οὐδείςᵃⁿᶠˢⁿ γινώσκωᵛⁱᵃᵃ³ˢ ὁᵈᵍᵐᵖ ἀνάκειμαιᵛᵖᵖⁿᵍᵐᵖ πρόςᵖ τίςʳᵠⁿˢ λέγωᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ. **v.29** τι-σρινμπ γάρᶜ δοκέωᵛⁱⁱᵃ³ᵖ ἐπεί ὁᵈᵃⁿˢ γλωσσόκομονⁿᵃⁿˢ ἔχωᵛⁱⁱᵃ³ˢ ὁᵈⁿᵐˢ Ἰούδαςⁿⁿᵐˢ ὅτιᶜ λέγωᵛⁱᵖᵃ³ˢ αὐτόςʳᵖᵈᵐˢ ὁᵈⁿᵐˢ Ἰησοῦςⁿⁿᵐˢ ἀγοράζωᵛᵈᵃᵃ²ˢ ὅςʳʳᵍⁿᵖ χρείαⁿᵃᶠˢ ἔχωᵛⁱᵖᵃ¹ᵖ εἰςᵖ ὁᵈᵃᶠˢ ἑορτήⁿᵃᶠˢ ἤˣᵒ ὁᵈᵈᵐᵖ πτωχόςᵃᵈᵐᵖⁿ ἵναᶜ τι-σριανσ δίδωμιᵛˢᵃᵃ³ˢ. **v.30** λαμβάνωᵛᵖᵃᵃⁿᵐˢ οὖνᶜ ὁᵈᵃⁿˢ ψωμίονⁿᵃⁿˢ ἐκεῖνοςʳᵈⁿᵐˢ εὐθέωςᵇᵒ ἐξέρχομαιᵛⁱᵃᵃ³ˢ εἰμίᵛⁱⁱˣ³ˢ δέᶜ νύξⁿⁿᶠˢ.

σθη ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, εἰ 32
ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυ-
τῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. τεκνία ἔτι μικρὸν μεθ ὑμῶν 33
εἰμι, ζητήσετέ με καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι Ὅπου
ὑπάγω ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν καὶ ὑμῖν λέγω ἄρτι.
ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς 34
ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. ἐν τούτῳ 35
γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε ἐὰν ἀγάπην ἔχητε
ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος Κύριε ποῦ ὑπάγεις 36
ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ὅπου ὑπάγω οὐ δύνασαί μοι νῦν
ἀκολουθῆσαι ὕστερον δὲ ἀκολουθήσεις μοι. λέγει αὐτῷ 37
Πέτρος Κύριε διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι τὴν
ψυχήν μου ὑπὲρ σοῦ θήσω. ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Τὴν 38
ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις ἀμὴν ἀμὴν λέγω σοι οὐ μὴ
ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀπαρνήσῃ με τρίς.

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, πιστεύετε εἰς τὸν θεόν **14**
καὶ εἰς ἐμὲ πιστεύετε. ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ 2
πολλαί εἰσιν, εἰ δὲ μή εἶπον ἂν ὑμῖν πορεύομαι ἑτοιμάσαι
τόπον ὑμῖν. καὶ ἐὰν πορευθῶ [καὶ] ἑτοιμάσω ὑμῖν τόπον 3
πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν ἵνα

---

v.31 ὅτε^{bo} ἐξέρχομαι^{viaa3s} λέγω^{vipa3s} ὁ^{dnms} Ἰησοῦς^{nnms} νῦν^{bo} δοξάζω^{viap3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgms} ἄνθρωπος^{ngms} καί^{c} ὁ^{dnms} θεός^{nnms} δοξάζω^{viap3s} ἐν^{p} αὐτός^{rpdms}. **v.32** εἰ^{qo} ὁ^{dnms} θεός^{nnms} δοξάζω^{viap3s} ἐν^{p} αὐτός^{rpdms} καί^{c} ὁ^{dnms} θεός^{nnms} δοξάζω^{vifa3s} αὐτός^{rpams} ἐν^{p} ἑαυτοῦ^{rxdms} καί^{c} εὐθύς^{bo} δοξάζω^{vifa3s} αὐτός^{rpams}. **v.33** τεκνίον^{nvnp} ἔτι^{bo} μικρός^{aansn} μετά^{p} σύ$^{rpg-p}$ εἰμί^{vipx1s} ζητέω^{vifa2p} ἐγώ$^{rpa-s}$ καί^{c} καθώς^{bo} λέγω^{viaa1s} ὁ^{ddmp} Ἰουδαῖος^{admpn} ὅτι^{c} ὅπου^{bo} ὑπάγω^{vipa1s} ἐγώ$^{rpn-s}$ σύ$^{rpn-p}$ οὐ^{xo} δύναμαι^{vipn2p} ἔρχομαι^{vnaa} καί^{c} σύ$^{rpd-p}$ λέγω^{vipa1s} ἄρτι^{bo}. **v.34** ἐντολή^{nafs} καινός^{aafsn} δίδωμι^{vipa1s} σύ$^{rpd-p}$ ἵνα^{c} ἀγαπάω^{vspa2p} ἀλλήλων^{reamp} καθώς^{bo} ἀγαπάω^{viaa1s} σύ$^{rpa-p}$ ἵνα^{c} καί^{c} σύ$^{rpn-p}$ ἀγαπάω^{vspa2p} ἀλλήλων^{reamp}. **v.35** ἐν^{p} οὗτος^{rddns} γινώσκω^{vifd3p} πᾶς^{anmpn} ὅτι^{c} ἐγώ$^{rpd-s}$ μαθητής^{nnmp} εἰμί^{vipx2p} ἐάν^{qo} ἀγάπη^{nafs} ἔχω^{vspa2p} ἐν^{p} ἀλλήλων^{redmp}. **v.36** λέγω^{vipa3s} αὐτός^{rpdms} Σίμων^{nnms} Πέτρος^{nnms} κύριος^{nvms} ποῦ^{xo} ὑπάγω^{vipa2s} ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὅπου^{bo} ὑπάγω^{vipa1s} οὐ^{xo} δύναμαι^{vipn2s} ἐγώ$^{rpd-s}$ νῦν^{bo} ἀκολουθέω^{vnaa} ὕστερος^{bo} δέ^{c} ἀκολουθέω^{vifa2s} ἐγώ$^{rpd-s}$. **v.37** λέγω^{vipa3s} αὐτός^{rpdms} Πέτρος^{nnms} κύριος^{nvms} διά^{p} τίς^{rqans} οὐ^{xo} δύναμαι^{vipn1s} σύ$^{rpd-s}$ ἀκολουθέω^{vnaa} ἄρτι^{bo} ὁ^{dafs} ψυχή^{nafs} ἐγώ$^{rpg-s}$ ὑπέρ^{p} σύ$^{rpg-s}$ τίθημι^{vifa1s}. **v.38** ἀποκρίνομαι^{viad3s} αὐτός^{rpdms} ὁ^{dnms} Ἰησοῦς^{nnms} ὁ^{dafs} ψυχή^{nafs} σύ$^{rpg-s}$ ὑπέρ^{p} ἐγώ$^{rpg-s}$ τίθημι^{vifa2s} ἀμήνth ἀμήνth λέγω^{vipa1s} σύ$^{rpd-s}$ οὐ^{xo} μή^{xo} ἀλέκτωρ^{nnms} φωνέω^{vsaa3s} ἕως^{c} ὅς^{bo} ἀπαρνέομαι^{vifd2s} ἐγώ$^{rpa-s}$ τρίς^{bo}. **14. v.1** μή^{xo} ταράσσω^{vdpp3s} σύ$^{rpg-p}$ ὁ^{dnfs} καρδία^{nnfs} πιστεύω^{vdpa2p} εἰς^{p} ὁ^{dams} θεός^{nams} καί^{c} εἰς^{p} ἐγώ$^{rpa-s}$ πιστεύω^{vdpa2p}. **v.2** ἐν^{p} ὁ^{ddfs} οἰκία^{ndfs} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-s}$ μονή^{anfpn} πολύς^{anfpn} εἰμί^{vipx3p} εἰ^{qo} δέ^{c} μή^{xo} λέγω^{viaa1s} ἄν^{xo} σύ$^{rpd-p}$ πορεύομαι^{vipn1s} ἑτοιμάζω^{vnaa} τόπος^{nams} σύ$^{rpd-p}$.

4 ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. καὶ ὅπου ἐγὼ ὑπάγω οἴ-
5 δατε καὶ τὴν ὁδὸν οἴδατε, Λέγει αὐτῷ Θωμᾶς Κύριε οὐκ
οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι.
6 λέγει αὐτῷ ὁ Ἰησοῦς Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ
7 ἡ ζωή, οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι᾽ ἐμοῦ. εἰ
ἐγνώκειτέ με καὶ τὸν πατέρα μου ἐγνώκειτε ἂν, καὶ ἀπ ἄρτι
8 γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. λέγει αὐτῷ Φίλιπ-
9 πος Κύριε δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν. λέγει
αὐτῷ ὁ Ἰησοῦς τοσοῦτον χρόνον μεθ ὑμῶν εἰμι καὶ οὐκ ἔ-
γνωκάς με Φίλιππε ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα,
10 καὶ πῶς σὺ λέγεις Δεῖξον ἡμῖν τὸν πατέρα. οὐ πιστεύεις
ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν τὰ ῥήματα
ἃ ἐγὼ λαλῶ ὑμῖν ἀπ ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ ὁ ἐν
11 ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. πιστεύετέ μοι ὅτι ἐγὼ ἐν
τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, εἰ δὲ μή διὰ τὰ ἔργα αὐτὰ
12 πιστεύετε μοι. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ πιστεύων εἰς ἐμὲ
τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων
13 ποιήσει ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι, καὶ ὅ
τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω ἵνα δοξα-

---

29 καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν
30 ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμεινεν δὲ ὁ Παῦλος δι-
ετίαν ὅλην ἐν ἰδίῳ μισθώματι καὶ ἀπεδέχετο πάντας τοὺς
31 εἰσπορευομένους πρὸς αὐτόν. κηρύσσων τὴν βασιλείαν
τοῦ θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ
μετὰ πάσης παρρησίας ἀκωλύτως.

---

v.27 παχύνω^{viap3s} γάρ^{c} ὁ^{dnfs} καρδία^{nnfs} ὁ^{dgms} λαός^{ngms} οὗτος^{rdgms} καί^{c} ὁ^{ddnp} οὖς^{ndnp} βαρέως^{bo} ἀκούω^{viaa3p} καί^{c} ὁ^{damp} ὀφθαλμός^{namp} αὐτός^{rpgmp} καμμύω^{viaa3p} μήποτε^{bo} ὁράω^{vsaa3p} ὁ^{ddmp} ὀφθαλμός^{ndmp} καί^{c} ὁ^{ddnp} οὖς^{ndnp} ἀκούω^{vsaa3p} καί^{c} ὁ^{ddfs} καρδία^{ndfs} συνίημι^{vsaa3p} καί^{c} ἐπιστρέφω^{vsaa3p} καί^{c} ἰάομαι^{vifd1s} αὐτός^{rpamp}. **v.28** γνωστός^{annsn} οὖν^{c} εἰμί^{vdpx3s} σύ$^{rpd-p}$ ὅτι^{c} ὁ^{ddnp} ἔθνος^{ndnp} ἀποστέλλω^{viap3s} ὁ^{dnns} σωτήριον^{annsn} ὁ^{dgms} θεός^{ngms} αὐτός^{rpnmp} καί^{c} ἀκούω^{vifd3p}. **v.29** καί^{c} οὗτος^{rdanp} αὐτός^{rpgms} λέγω^{vpaagms} ἀπέρχομαι^{viaa3p} ὁ^{dnmp} Ἰουδαῖος^{anmpn} πολύς^{aafsn} ἔχω^{vppanmp} ἐν^{p} ἑαυτοῦ^{rxdmp} συζήτησις^{nafs}. **v.30** μένω^{viaa3s} δέ^{c} ὁ^{dnms} Παῦλος^{nnms} διετία^{nafs} ὅλος^{aafsn} ἐν^{p} ἴδιος^{admsn} μίσθωμα^{ndns} καί^{c} ἀποδέχομαι^{viin3s} πᾶς^{aampn} ὁ^{damp} εἰσπορεύομαι^{vppmamp} πρός^{p} αὐτός^{rpams}. **v.31** κηρύσσω^{vppanms} ὁ^{dafs} βασιλεία^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} διδάσκω^{vppanms} ὁ^{danp} περί^{p} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} πᾶς^{agfsn} παρρησία^{ngfs} ἀκωλύτως^{bo}.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ

Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος ἀφω- **1**
ρισμένος εἰς εὐαγγέλιον θεοῦ. ὃ προεπηγγείλατο διὰ τῶν 2
προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις. περὶ τοῦ υἱοῦ αὐτοῦ 3
τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα. τοῦ ὁ- 4
ρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης
ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.
δι᾽ οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως 5
ἐν πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ. ἐν οἷς 6
ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ. πᾶσιν τοῖς οὖσιν 7
ἐν Ῥώμῃ ἀγαπητοῖς θεοῦ κλητοῖς ἁγίοις χάρις ὑμῖν καὶ εἰ-
ρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.
Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑ- 8
πὲρ πάντων ὑμῶν ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ
τῷ κόσμῳ. μάρτυς γάρ μού ἐστιν ὁ θεός ᾧ λατρεύω ἐν τῷ 9
πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ ὡς ἀδιαλεί-
πτως μνείαν ὑμῶν ποιοῦμαι. πάντοτε ἐπὶ τῶν προσευχῶν 10
μου δεόμενος εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελή-

---

1. v.1 Παῦλος^{nnms} δοῦλος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} κλητός^{anmsn} ἀπόστολος^{nnms} ἀφορίζω^{vpxpnms} εἰς^{p} εὐαγγέλιον^{nans} θεός^{ngms}. **v.2** ὅς^{rrans} προεπαγγέλλομαι^{viad3s} διά^{p} ὁ^{dgmp} προφήτης^{ngmp} αὐτός^{rpgms} ἐν^{p} γραφή^{ndfp} ἅγιος^{adfpn}. **v.3** περί^{p} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms} ὁ^{dgms} γίνομαι^{vpadgms} ἐκ^{p} σπέρμα^{ngns} Δαυίδ^{tp} κατά^{p} σάρξ^{nafs}. **v.4** ὁ^{dgms} ὁρίζω^{vpapgms} υἱός^{ngms} θεός^{ngms} ἐν^{p} δύναμις^{ndfs} κατά^{p} πνεῦμα^{nans} ἁγιωσύνη^{ngfs} ἐκ^{p} ἀνάστασις^{ngfs} νεκρός^{agmpn} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$. **v.5** διά^{p} ὅς^{rrgms} λαμβάνω^{viaa1p} χάρις^{nafs} καί^{c} ἀποστολή^{nafs} εἰς^{p} ὑπακοή^{nafs} πίστις^{ngfs} ἐν^{p} πᾶς^{adnpn} ὁ^{ddnp} ἔθνος^{ndnp} ὑπέρ^{p} ὁ^{dgns} ὄνομα^{ngns} αὐτός^{rpgms}. **v.6** ἐν^{p} ὅς^{rrdnp} εἰμί^{vipx2p} καί^{c} σύ$^{rpn-p}$ κλητός^{anmpn} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.7** πᾶς^{admpn} ὁ^{ddmp} εἰμί^{vppxdmp} ἐν^{p} Ῥώμη^{ndfs} ἀγαπητός^{admpn} θεός^{ngms} κλητός^{admpn} ἅγιος^{admpn} χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.8** πρῶτος^{bo} μέν^{xo} εὐχαριστέω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ἐγώ$^{rpg-s}$ διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὑπέρ^{p} πᾶς^{agmpn} σύ$^{rpg-p}$ ὅτι^{c} ὁ^{dnfs} πίστις^{nnfs} σύ$^{rpg-p}$ καταγγέλλω^{vipp3s} ἐν^{p} ὅλος^{admsn} ὁ^{ddms} κόσμος^{ndms}. **v.9** μάρτυς^{nnms} γάρ^{c} ἐγώ$^{rpg-s}$ εἰμί^{vipx3s} ὁ^{dnms} θεός^{nnms} ὅς^{rrdms} λατρεύω^{vipa1s} ἐν^{p} ὁ^{ddns} πνεῦμα^{ndns} ἐγώ$^{rpg-s}$ ἐν^{p} ὁ^{ddns} εὐαγγέλιον^{ndns} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms} ὡς^{bo} ἀδιαλείπτως^{bo} μνεία^{nafs} σύ$^{rpg-p}$ ποιέω^{vipm1s}.

11 ματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς
ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι
12 ὑμᾶς. τοῦτο δέ ἐστιν συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς
13 ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ. οὐ θέλω δὲ ὑμᾶς
ἀγνοεῖν ἀδελφοί ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς
καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν
14 ὑμῖν καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησίν τε καὶ
15 βαρβάροις σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί. οὕτως τὸ
κατ ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.
16 Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,, δύναμις
γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι Ἰουδαίῳ
17 τε πρῶτον καὶ Ἕλληνι. δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀ-
ποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν καθὼς γέγραπται Ὁ δὲ
18 δίκαιος ἐκ πίστεως ζήσεται. Ἀποκαλύπτεται γὰρ ὀργὴ θε-
οῦ ἀπ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων
19 τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. διότι τὸ γνωστὸν
τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς, ὁ γὰρ θεὸς αὐτοῖς ἐφα-
20 νέρωσεν. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς
ποιήμασιν νοούμενα καθορᾶται ἥ τε ἀΐδιος αὐτοῦ δύνα-
21 μις καὶ θειότης εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. διότι

---

v.10 πάντοτε^{bo} ἐπί^{p} ὁ^{dgfp} προσευχή^{ngfp} ἐγώ$^{rpg\text{-}s}$ δέομαι^{vppnnms} εἰ^{qo} πώς^{xo} ἤδη^{bo} ποτέ^{xo} εὐοδόω^{vifp1s} ἐν^{p} ὁ^{ddns} θέλημα^{ndns} ὁ^{dgms} θεός^{ngms} ἔρχομαι^{vnaa} πρός^{p} σύ$^{rpa\text{-}p}$. **v.11** ἐπιποθέω^{vipa1s} γάρ^{c} ὁράω^{vnaa} σύ$^{rpa\text{-}p}$ ἵνα^{c} τι-σριανσ μεταδίδωμι^{vsaa1s} χάρισμα^{nans} σύ$^{rpd\text{-}p}$ πνευματικός^{aansn} εἰς^{p} ὁ^{dans} στηρίζω^{vnap} σύ$^{rpa\text{-}p}$. **v.12** οὗτος^{rdnns} δέ^{c} εἰμί^{vipx3s} συμπαρακαλέω^{vnap} ἐν^{p} σύ$^{rpd\text{-}p}$ διά^{p} ὁ^{dgfs} ἐν^{p} ἀλλήλων^{redmp} πίστις^{ngfs} σύ$^{rpg\text{-}p}$ τέ^{xo} καί^{c} ἐγώ$^{rpg\text{-}s}$. **v.13** οὐ^{xo} θέλω^{vipa1s} δέ^{c} σύ$^{rpa\text{-}p}$ ἀγνοέω^{vnpa} ἀδελφός^{nvmp} ὅτι^{c} πολλάκις^{bo} προτίθημι^{viam1s} ἔρχομαι^{vnaa} πρός^{p} σύ$^{rpa\text{-}p}$ καί^{c} κωλύω^{viap1s} ἄχρι^{p} ὁ^{dgms} δεῦρο^{bo} ἵνα^{c} τι-σριαμσ καρπός^{nams} ἔχω^{vsaa1s} καί^{c} ἐν^{p} σύ$^{rpd\text{-}p}$ καθώς^{bo} καί^{c} ἐν^{p} ὁ^{ddnp} λοιπός^{adnpn} ἔθνος^{ndnp}. **v.14** Ἕλλην^{ndmp} τέ^{xo} καί^{c} βάρβαρος^{admpn} σοφός^{admpn} τέ^{xo} καί^{c} ἀνόητος^{admpn} ὀφειλέτης^{nnms} εἰμί^{vipx1s}. **v.15** οὕτω^{bo} ὁ^{dnns} κατά^{p} ἐγώ$^{rpa\text{-}s}$ πρόθυμος^{annsn} καί^{c} σύ$^{rpd\text{-}p}$ ὁ^{ddmp} ἐν^{p} Ῥώμη^{ndfs} εὐαγγελίζω^{vnam}. **v.16** οὐ^{xo} γάρ^{c} ἐπαισχύνομαι^{vipn1s} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgms} Χριστός^{ngms} δύναμις^{nnfs} γάρ^{c} θεός^{ngms} εἰμί^{vipx3s} εἰς^{p} σωτηρία^{nafs} πᾶς^{admsn} ὁ^{ddms} πιστεύω^{vppadms} Ἰουδαῖος^{admsn} τέ^{xo} πρῶτος^{bo} καί^{c} Ἕλλην^{ndms}. **v.17** δικαιοσύνη^{nnfs} γάρ^{c} θεός^{ngms} ἐν^{p} αὐτός^{rpdns} ἀποκαλύπτω^{vipp3s} ἐκ^{p} πίστις^{ngfs} εἰς^{p} πίστις^{nafs} καθώς^{bo} γράφω^{vixp3s} ὁ^{dnms} δέ^{c} δίκαιος^{anmsn} ἐκ^{p} πίστις^{ngfs} ζάω^{vifd3s}. **v.18** ἀποκαλύπτω^{vipp3s} γάρ^{c} ὀργή^{nnfs} θεός^{ngms} ἀπό^{p} οὐρανός^{ngms} ἐπί^{p} πᾶς^{aafsn} ἀσέβεια^{nafs} καί^{c} ἀδικία^{nafs} ἄνθρωπος^{ngmp} ὁ^{dgmp} ὁ^{dafs} ἀλήθεια^{nafs} ἐν^{p} ἀδικία^{ndfs} κατέχω^{vppagmp}. **v.19** διότι^{c} ὁ^{dnns} γνωστός^{annsn} ὁ^{dgms} θεός^{ngms} φανερός^{annsn} εἰμί^{vipx3s} ἐν^{p} αὐτός^{rpdmp} ὁ^{dnms} γάρ^{c} θεός^{nnms} αὐτός^{rpdmp} φανερόω^{viaa3s}. **v.20** ὁ^{dnnp} γάρ^{c} ἀόρατος^{annpn} αὐτός^{rpgms} ἀπό^{p} κτίσις^{ngfs} κόσμος^{ngms} ὁ^{ddnp} ποίημα^{ndnp} νοέω^{vpppnnp} καθοράω^{vipp3s} ὁ^{dnfs} τέ^{xo} ἀΐδιος^{anmsn} αὐτός^{rpgms} δύναμις^{nnfs} καί^{c} θειότης^{nnfs} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} αὐτός^{rpamp} ἀναπολόγητος^{aampn}.

γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν ἀλλ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες εἶναι σοφοὶ 22
ἐμωράνθησαν. καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θε- 23
οῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. Διὸ καὶ παρέδωκεν αὐτοὺς 24
ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς. οἵτινες 25
μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν. διὰ τοῦτο παρέ- 26
δωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. ὁμοίως τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν 27
τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους ἄρσενες ἐν ἄρσεσιν τὴν ἀσχημοσύνην κατεργαζόμενοι καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν 28
ἐν ἐπιγνώσει παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα. πεπληρωμένους πάσῃ ἀδικίᾳ 29
πορνείᾳ, πονηρίᾳ πλεονεξίᾳ κακίᾳ μεστοὺς φθόνου φόνου

---

v.21 διότι^{c} γινώσκω^{vpaanmp} ὁ^{dams} θεός^{nams} οὐ^{xo} ὡς^{bo} θεός^{nams} δοξάζω^{viaa3p} ἢ^{xo} εὐχαριστέω^{viaa3p} ἀλλά^{c} ματαιόω^{viap3p} ἐν^{p} ὁ^{ddmp} διαλογισμός^{ndmp} αὐτός^{rpgmp} καί^{c} σκοτίζω^{viap3s} ὁ^{dnfs} ἀσύνετος^{anfsn} αὐτός^{rpgmp} καρδία^{nnfs}. **v.22** φάσκω^{vppanmp} εἰμί^{vnpx} σοφός^{anmpn} μωραίνω^{viap3p}. **v.23** καί^{c} ἀλλάσσω^{viaa3p} ὁ^{dafs} δόξα^{nafs} ὁ^{dgms} ἄφθαρτος^{agmsn} θεός^{ngms} ἐν^{p} ὁμοίωμα^{ndns} εἰκών^{ngfs} φθαρτός^{agmsn} ἄνθρωπος^{ngms} καί^{c} πετεινός^{ngnp} καί^{c} τετράπους^{agnpn} καί^{c} ἑρπετόν^{ngnp}. **v.24** διό^{c} καί^{c} παραδίδωμι^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnms} θεός^{nnms} ἐν^{p} ὁ^{ddfp} ἐπιθυμία^{ndfp} ὁ^{dgfp} καρδία^{ngfp} αὐτός^{rpgmp} εἰς^{p} ἀκαθαρσία^{nafs} ὁ^{dgms} ἀτιμάζω^{vnpe} ὁ^{danp} σῶμα^{nanp} αὐτός^{rpgmp} ἐν^{p} ἑαυτοῦ^{rxdmp}. **v.25** ὅστις^{rrnmp} μεταλλάσσω^{viaa3p} ὁ^{dafs} ἀλήθεια^{nafs} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} ὁ^{ddns} ψεῦδος^{ndns} καί^{c} σεβάζομαι^{viad3p} καί^{c} λατρεύω^{viaa3p} ὁ^{ddfs} κτίσις^{ndfs} παρά^{p} ὁ^{dams} κτίζω^{vpaaams} ὅς^{rrnms} εἰμί^{vipx3s} εὐλογητός^{anmsn} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ἀμήνth. **v.26** διά^{p} οὗτος^{rdans} παραδίδωμι^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnms} θεός^{nnms} εἰς^{p} πάθος^{nanp} ἀτιμία^{ngfs} ὁ^{dnfp} τέ^{xo} γάρ^{c} θῆλυς^{anfpn} αὐτός^{rpgmp} μεταλλάσσω^{viaa3p} ὁ^{dafs} φυσικός^{aafsn} χρῆσις^{nafs} εἰς^{p} ὁ^{dafs} παρά^{p} φύσις^{nafs}. **v.27** ὁμοίως^{bo} τέ^{xo} καί^{c} ὁ^{dnmp} ἄρσην^{nnmp} ἀφίημι^{vpaanmp} ὁ^{dafs} φυσικός^{aafsn} χρῆσις^{nafs} ὁ^{dgfs} θῆλυς^{agfsn} ἐκκαίω^{viap3p} ἐν^{p} ὁ^{ddfs} ὄρεξις^{ndfs} αὐτός^{rpgmp} εἰς^{p} ἀλλήλων^{reamp} ἄρσην^{nnmp} ἐν^{p} ἄρσην^{ndmp} ὁ^{dafs} ἀσχημοσύνη^{nafs} κατεργάζομαι^{vppnnmp} καί^{c} ὁ^{dafs} ἀντιμισθία^{nafs} ὅς^{rrafs} δεῖ^{viiq3s} ὁ^{dgfs} πλάνη^{ngfs} αὐτός^{rpgmp} ἐν^{p} ἑαυτοῦ^{rxdmp} ἀπολαμβάνω^{vppanmp}. **v.28** καί^{c} καθώς^{bo} οὐ^{xo} δοκιμάζω^{viaa3p} ὁ^{dams} θεός^{nams} ἔχω^{vnpa} ἐν^{p} ἐπίγνωσις^{ndfs} παραδίδωμι^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnms} θεός^{nnms} εἰς^{p} ἀδόκιμος^{aamsn} νοῦς^{nams} ποιέω^{vnpa} ὁ^{danp} μή^{xo} καθήκω^{vppqanp}.

30 ἔριδος δόλου κακοηθείας ψιθυριστάς. καταλάλους θε-
οστυγεῖς ὑβριστάς ὑπερηφάνους ἀλαζόνας ἐφευρετὰς κα-
31 κῶν γονεῦσιν ἀπειθεῖς. ἀσυνέτους ἀσυνθέτους ἀστόργους
32 ἀσπόνδους, ἀνελεήμονας, οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ
ἐπιγνόντες ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰ-
σίν οὐ μόνον αὐτὰ ποιοῦσιν ἀλλὰ καὶ συνευδοκοῦσιν τοῖς
πράσσουσιν.

2 Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων, ἐν ᾧ γὰρ
κρίνεις τὸν ἕτερον σεαυτὸν κατακρίνεις τὰ γὰρ αὐτὰ πράσ-
2 σεις ὁ κρίνων. οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστιν
3 κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. λογίζῃ
δὲ τοῦτο ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας
4 καὶ ποιῶν αὐτά ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ. ἢ τοῦ
πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς
μακροθυμίας καταφρονεῖς ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ
5 εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σου καὶ
ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέ-
ρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ.
6, 7 ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν καθ
ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν

---

v.29 πληρόω^{vpxpamp} πᾶς^{adfsn} ἀδικία^{ndfs} πορνεία^{ndfs} πονηρία^{ndfs} πλεονεξία^{ndfs} κακία^{ndfs} μεστός^{aampn} φθόνος^{ngms} φόνος^{ngms} ἔρις^{ngfs} δόλος^{ngms} κακοήθεια^{ngfs} ψιθυριστής^{namp}. **v.30** καταλάλος^{aampn} θεοστυγής^{aampn} ὑβριστής^{namp} ὑπερήφανος^{aampn} ἀλαζών^{namp} ἐφευρετής^{namp} κακός^{agnpn} γονεύς^{ndmp} ἀπειθής^{aampn}. **v.31** ἀσύνετος^{aampn} ἀσύνθετος^{aampn} ἄστοργος^{aampn} ἄσπονδος^{aampn} ἀνελεήμων^{aampn}. **v.32** ὅστις^{rrnmp} ὁ^{dans} δικαίωμα^{nans} ὁ^{dgms} θεός^{ngms} ἐπιγινώσκω^{vpaanmp} ὅτι^{c} ὁ^{dnmp} ὁ^{danp} τοιοῦτος^{rdanp} πράσσω^{vppanmp} ἄξιος^{anmpn} θάνατος^{ngms} εἰμί^{vipx3p} οὐ^{xo} μόνος^{bo} αὐτός^{rpanp} ποιέω^{vipa3p} ἀλλά^{c} καί^{c} συνευδοκέω^{vipa3p} ὁ^{ddmp} πράσσω^{vppadmp}. **2. v.1** διό^{c} ἀναπολόγητος^{anmsn} εἰμί^{vipx2s} ὦ^{i} ἄνθρωπος^{nvms} πᾶς^{anmsn} ὁ^{dnms} κρίνω^{vppanms} ἐν^{p} ὅς^{rrdns} γάρ^{c} κρίνω^{vipa2s} ὁ^{dams} ἕτερος^{aamsn} σεαυτοῦ^{rxams} κατακρίνω^{vipa2s} ὁ^{danp} γάρ^{c} αὐτός^{rpanp} πράσσω^{vipa2s} ὁ^{dnms} κρίνω^{vppanms}. **v.2** οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} ὁ^{dnns} κρίμα^{nnns} ὁ^{dgms} θεός^{ngms} εἰμί^{vipx3s} κατά^{p} ἀλήθεια^{nafs} ἐπί^{p} ὁ^{damp} ὁ^{danp} τοιοῦτος^{rdanp} πράσσω^{vppaamp}. **v.3** λογίζομαι^{vipn2s} δέ^{c} οὗτος^{rdans} ὦ^{i} ἄνθρωπος^{nvms} ὁ^{dnms} κρίνω^{vppanms} ὁ^{damp} ὁ^{danp} τοιοῦτος^{rdanp} πράσσω^{vppaamp} καί^{c} ποιέω^{vppanms} αὐτός^{rpanp} ὅτι^{c} σύ$^{rpn-s}$ ἐκφεύγω^{vifd2s} ὁ^{dans} κρίμα^{nans} ὁ^{dgms} θεός^{ngms}. **v.4** ἤ^{xo} ὁ^{dgms} πλοῦτος^{ngms} ὁ^{dgfs} χρηστότης^{ngfs} αὐτός^{rpgms} καί^{c} ὁ^{dgfs} ἀνοχή^{ngfs} καί^{c} ὁ^{dgfs} μακροθυμία^{ngfs} καταφρονέω^{vipa2s} ἀγνοέω^{vppanms} ὅτι^{c} ὁ^{dnns} χρηστός^{annsn} ὁ^{dgms} θεός^{ngms} εἰς^{p} μετάνοια^{nafs} σύ$^{rpa-s}$ ἄγω^{vipa3s}. **v.5** κατά^{p} δέ^{c} ὁ^{dafs} σκληρότης^{nafs} σύ$^{rpg-s}$ καί^{c} ἀμετανόητος^{aafsn} καρδία^{nafs} θησαυρίζω^{vipa2s} σεαυτοῦ^{rxdms} ὀργή^{nafs} ἐν^{p} ἡμέρα^{ndfs} ὀργή^{ngfs} καί^{c} ἀποκάλυψις^{ngfs} καί^{c} δικαιοκρισία^{ngfs} ὁ^{dgms} θεός^{ngms}. **v.6** ὅς^{rrnms} ἀποδίδωμι^{vifa3s} ἕκαστος^{admsn} κατά^{p} ὁ^{danp} ἔργον^{nanp} αὐτός^{rpgms}.

ζητοῦσιν ζωὴν αἰώνιον. τοῖς δὲ ἐξ ἐριθείας καὶ ἀπειθοῦσιν 8
μὲν τῇ ἀληθείᾳ πειθομένοις δὲ τῇ ἀδικίᾳ θυμός καὶ ὀργὴ
θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κα- 9
τεργαζομένου τὸ κακόν Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος,
δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν 10
Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι, οὐ γάρ ἐστιν προσωποληψία 11
παρὰ τῷ θεῷ. ὅσοι γὰρ ἀνόμως ἥμαρτον ἀνόμως καὶ 12
ἀπολοῦνται καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον διὰ νόμου κριθήσονται, οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ 13
θεῷ ἀλλ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. ὅταν γὰρ 14
ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι
νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσιν νόμος, οἵτινες ἐνδείκνυνται 15
τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων
τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων. ἐν 16
ἡμέρᾳ ὅτε κρίνει ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ
εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. Ἴδε σὺ Ἰουδαῖος ἐ- 17
πονομάζῃ καὶ ἐπαναπαύῃ τῷ νόμῳ καὶ καυχᾶσαι ἐν θεῷ.
καὶ γινώσκεις τὸ θέλημα καὶ δοκιμάζεις τὰ διαφέροντα κα- 18
τηχούμενος ἐκ τοῦ νόμου. πέποιθάς τε σεαυτὸν ὁδηγὸν 19

---

v.7 ὁ^ddmp μέν^xo κατά^p ὑπομονή^nafs ἔργον^ngns ἀγαθός^agnsn δόξα^nafs καί^c τιμή^nafs καί^c ἀφθαρσία^nafs ζητέω^vppadmp ζωή^nafs αἰώνιος^aafsn. **v.8** ὁ^ddmp δέ^c ἐκ^p ἐριθεία^ngfs καί^c ἀπειθέω^vppadmp μέν^xo ὁ^ddfs ἀλήθεια^ndfs πείθω^vppmdmp δέ^c ὁ^ddfs ἀδικία^ndfs θυμός^nnms καί^c ὀργή^nnfs. **v.9** θλῖψις^nnfs καί^c στενοχωρία^nnfs ἐπί^p πᾶς^aafsn ψυχή^nafs ἄνθρωπος^ngms ὁ^dgms κατεργάζομαι^vppngms ὁ^dans κακός^aansn Ἰουδαῖος^agmsn τέ^xo πρῶτος^bo καί^c Ἕλλην^ngms. **v.10** δόξα^nnfs δέ^c καί^c τιμή^nnfs καί^c εἰρήνη^nnfs πᾶς^admsn ὁ^ddms ἐργάζομαι^vppndms ὁ^dans ἀγαθός^aansn Ἰουδαῖος^admsn τέ^xo πρῶτος^bo καί^c Ἕλλην^ndms. **v.11** οὐ^xo γάρ^c εἰμί^vipx3s προσωποληψία^nnfs παρά^p ὁ^ddms θεός^ndms. **v.12** ὅσος^rcnmp γάρ^c ἀνόμως^bo ἁμαρτάνω^viaa3p ἀνόμως^bo καί^c ἀπόλλυμι^vifm3p καί^c ὅσος^rcnmp ἐν^p νόμος^ndms ἁμαρτάνω^viaa3p διά^p νόμος^ngms κρίνω^vifp3p. **v.13** οὐ^xo γάρ^c ὁ^dnmp ἀκροατής^nnmp ὁ^dgms νόμος^ngms δίκαιος^anmpn παρά^p ὁ^ddms θεός^ndms ἀλλά^c ὁ^dnmp ποιητής^nnmp ὁ^dgms νόμος^ngms δικαιόω^vifp3p. **v.14** ὅταν^c γάρ^c ἔθνος^nnnp ὁ^dnnp μή^xo νόμος^nams ἔχω^vppannp φύσις^ndfs ὁ^danp ὁ^dgms νόμος^ngms ποιέω^vspa3s οὗτος^rdnmp νόμος^nams μή^xo ἔχω^vppanmp ἑαυτοῦ^rxdmp εἰμί^vipx3p νόμος^nnms. **v.15** ὅστις^rrnmp ἐνδείκνυμι^vipm3p ὁ^dans ἔργον^nans ὁ^dgms νόμος^ngms γραπτός^aansn ἐν^p ὁ^ddfp καρδία^ndfp αὐτός^rpgmp συμμαρτυρέω^vppagfs αὐτός^rpgmp ὁ^dgfs συνείδησις^ngfs καί^c μεταξύ^bo ἀλλήλων^regmp ὁ^dgmp λογισμός^ngmp κατηγορέω^vppagmp ἤ^xo καί^c ἀπολογέομαι^vppngmp. **v.16** ἐν^p ἡμέρα^ndfs ὅτε^bo κρίνω^vipa3s ὁ^dnms θεός^nnms ὁ^danp κρυπτός^aanpn ὁ^dgmp ἄνθρωπος^ngmp κατά^p ὁ^dans εὐαγγέλιον^nans ἐγώ^rpg-s διά^p Ἰησοῦς^ngms Χριστός^ngms. **v.17** ἴδε^i σύ^rpn-s Ἰουδαῖος^anmsn ἐπονομάζω^vipp2s καί^c ἐπαναπαύομαι^vipn2s ὁ^ddms νόμος^ndms καί^c καυχάομαι^vipn2s ἐν^p θεός^ndms. **v.18** καί^c γινώσκω^vipa2s ὁ^dans θέλημα^nans καί^c δοκιμάζω^vipa2s ὁ^danp διαφέρω^vppaanp κατηχέω^vpppnms ἐκ^p ὁ^dgms νόμος^ngms.

20 εἶναι τυφλῶν φῶς τῶν ἐν σκότει. παιδευτὴν ἀφρόνων διδά-
σκαλον νηπίων ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς
21 ἀληθείας ἐν τῷ νόμῳ, ὁ οὖν διδάσκων ἕτερον σεαυτὸν οὐ
22 διδάσκεις ὁ κηρύσσων μὴ κλέπτειν κλέπτεις. ὁ λέγων μὴ
μοιχεύειν μοιχεύεις ὁ βδελυσσόμενος τὰ εἴδωλα ἱεροσυλεῖς.
23 ὃς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν
24 θεὸν ἀτιμάζεις, τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι᾽ ὑμᾶς βλασφη-
25 μεῖται ἐν τοῖς ἔθνεσιν καθὼς γέγραπται. περιτομὴ μὲν γὰρ
ὠφελεῖ ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νόμου ᾖς ἡ
26 περιτομή σου ἀκροβυστία γέγονεν. ἐὰν οὖν ἡ ἀκροβυστία
τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ οὐχὶ ἡ ἀκροβυστία αὐ-
27 τοῦ εἰς περιτομὴν λογισθήσεται. καὶ κρινεῖ ἡ ἐκ φύσεως
ἀκροβυστία τὸν νόμον τελοῦσα σὲ τὸν διὰ γράμματος καὶ
28 περιτομῆς παραβάτην νόμου. οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰου-
29 δαῖός ἐστιν οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή. ἀλλ ὁ
ἐν τῷ κρυπτῷ Ἰουδαῖος καὶ περιτομὴ καρδίας ἐν πνεύματι
οὐ γράμματι οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ ἐκ τοῦ
θεοῦ.

3 Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου ἢ τίς ἡ ὠφέλεια τῆς
2 περιτομῆς. πολὺ κατὰ πάντα τρόπον πρῶτον μὲν γὰρ ὅτι

---

v.19 πείθω^{vixa2s} τέ^{xo} σεαυτοῦ^{rxams} ὁδηγός^{nams} εἰμί^{vnpx} τυφλός^{agmpn} φῶς^{nans} ὁ^{dgmp} ἐν^{p} σκότος^{ndns}. **v.20** παιδευτής^{nafs} ἄφρων^{agmpn} διδάσκαλος^{nams} νήπιος^{agmpn} ἔχω^{vppaams} ὁ^{dafs} μόρφωσις^{nafs} ὁ^{dgfs} γνῶσις^{ngfs} καί^{c} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ἐν^{p} ὁ^{ddms} νόμος^{ndms}. **v.21** ὁ^{dnms} οὖν^{c} διδάσκω^{vppanms} ἕτερος^{aamsn} σεαυτοῦ^{rxams} οὐ^{xo} διδάσκω^{vipa2s} ὁ^{dnms} κηρύσσω^{vppanms} μή^{xo} κλέπτω^{vnpa} κλέπτω^{vipa2s}. **v.22** ὁ^{dnms} λέγω^{vppanms} μή^{xo} μοιχεύω^{vnpa} μοιχεύω^{vipa2s} ὁ^{dnms} βδελύσσομαι^{vppnnms} ὁ^{danp} εἴδωλον^{nanp} ἱεροσυλέω^{vipa2s}. **v.23** ὅς^{rrnms} ἐν^{p} νόμος^{ndms} καυχάομαι^{vipn2s} διά^{p} ὁ^{dgfs} παράβασις^{ngfs} ὁ^{dgms} νόμος^{ngms} ὁ^{dams} θεός^{nams} ἀτιμάζω^{vipa2s}. **v.24** ὁ^{dnns} γάρ^{c} ὄνομα^{nnns} ὁ^{dgms} θεός^{ngms} διά^{p} σύ$^{rpa-p}$ βλασφημέω^{vipp3s} ἐν^{p} ὁ^{ddnp} ἔθνος^{ndnp} καθώς^{bo} γράφω^{vixp3s}. **v.25** περιτομή^{nnfs} μέν^{xo} γάρ^{c} ὠφελέω^{vipa3s} ἐάν^{qo} νόμος^{nams} πράσσω^{vspa2s} ἐάν^{qo} δέ^{c} παραβάτης^{nnms} νόμος^{ngms} εἰμί^{vspx2s} ὁ^{dnfs} περιτομή^{nnfs} σύ$^{rpg-s}$ ἀκροβυστία^{nnfs} γίνομαι^{vixa3s}. **v.26** ἐάν^{qo} οὖν^{c} ὁ^{dnfs} ἀκροβυστία^{nnfs} ὁ^{danp} δικαίωμα^{nanp} ὁ^{dgms} νόμος^{ngms} φυλάσσω^{vspa3s} οὐχί^{xo} ὁ^{dnfs} ἀκροβυστία^{nnfs} αὐτός^{rpgms} εἰς^{p} περιτομή^{nafs} λογίζομαι^{vifp3s}. **v.27** καί^{c} κρίνω^{vifa3s} ὁ^{dnfs} ἐκ^{p} φύσις^{ngfs} ἀκροβυστία^{nnfs} ὁ^{dams} νόμος^{nams} τελέω^{vppanfs} σύ$^{rpa-s}$ ὁ^{dams} διά^{p} γράμμα^{ngns} καί^{c} περιτομή^{ngfs} παραβάτης^{nams} νόμος^{ngms}. **v.28** οὐ^{xo} γάρ^{c} ὁ^{dnms} ἐν^{p} ὁ^{ddns} φανερός^{adnsn} Ἰουδαῖος^{anmsn} εἰμί^{vipx3s} οὐδέ^{bo} ὁ^{dnfs} ἐν^{p} ὁ^{ddns} φανερός^{adnsn} ἐν^{p} σάρξ^{ndfs} περιτομή^{nnfs}. **v.29** ἀλλά^{c} ὁ^{dnms} ἐν^{p} ὁ^{ddns} κρυπτός^{adnsn} Ἰουδαῖος^{anmsn} καί^{c} περιτομή^{nnfs} καρδία^{ngfs} ἐν^{p} πνεῦμα^{ndns} οὐ^{xo} γράμμα^{ndns} ὅς^{rrgms} ὁ^{dnms} ἔπαινος^{nnms} οὐ^{xo} ἐκ^{p} ἄνθρωπος^{ngmp} ἀλλά^{c} ἐκ^{p} ὁ^{dgms} θεός^{ngms}. **3. v.1** τίς^{rqnns} οὖν^{c} ὁ^{dnns} περισσός^{annsn} ὁ^{dgms} Ἰουδαῖος^{agmsn} ἤ^{xo} τίς^{rqnfs} ὁ^{dnfs} ὠφέλεια^{nnfs} ὁ^{dgfs} περιτομή^{ngfs}.

ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ. τί γὰρ εἰ ἠπίστησάν τι- 3
νες μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει.
μὴ γένοιτο, γινέσθω δὲ ὁ θεὸς ἀληθὴς πᾶς δὲ ἄνθρωπος 4
ψεύστης καθὼς γέγραπται Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λό-
γοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. εἰ δὲ ἡ ἀδικία 5
ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν τί ἐροῦμεν μὴ ἄδικος
ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν κατὰ ἄνθρωπον λέγω. μὴ 6
γένοιτο, ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον. εἰ γὰρ ἡ ἀ- 7
λήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν
δόξαν αὐτοῦ τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι. καὶ μὴ 8
καθὼς βλασφημούμεθα καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν
ὅτι Ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά ὧν τὸ κρίμα
ἔνδικόν ἐστιν. Τί οὖν προεχόμεθα οὐ πάντως, προῃτιασά- 9
μεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ ἁμαρτίαν
εἶναι. καθὼς γέγραπται [ὅτι] Οὐκ ἔστιν δίκαιος οὐδὲ εἷς. 10
οὐκ ἔστιν ὁ συνίων οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν. πάντες 11, 12
ἐξέκλιναν ἅμα ἠχρειώθησαν, οὐκ ἔστιν ποιῶν χρηστότητα
οὐκ ἔστιν ἕως ἑνός. τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν 13
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη
αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει. ὀξεῖς οἱ πό- 14, 15

---

v.2 πολύς^{annsn} κατά^{p} πᾶς^{aamsn} τρόπος^{nams} πρῶτος^{bo} μέν^{xo} γάρ^{c} ὅτι^{c} πιστεύω^{viap3p} ὁ^{danp} λόγιον^{nanp} ὁ^{dgms} θεός^{ngms}. **v.3** τίς^{rqnns} γάρ^{c} εἰ^{qo} ἀπιστέω^{viaa3p} τι-σρινμπ μή^{xo} ὁ^{dnfs} ἀπιστία^{nnfs} αὐτός^{rpgmp} ὁ^{dafs} πίστις^{nafs} ὁ^{dgms} θεός^{ngms} καταργέω^{vifa3s}. **v.4** μή^{xo} γίνομαι^{voad3s} γίνομαι^{vdpn3s} δέ^{c} ὁ^{dnms} θεός^{nnms} ἀληθής^{anmsn} πᾶς^{anmsn} δέ^{c} ἄνθρωπος^{nnms} ψεύστης^{nnms} καθώς^{bo} γράφω^{vixp3s} ὅπως^{bo} ἄν^{xo} δικαιόω^{vsap2s} ἐν^{p} ὁ^{ddmp} λόγος^{ndmp} σύ$^{rpg-s}$ καί^{c} νικάω^{vsaa2s} ἐν^{p} ὁ^{ddms} κρίνω^{vnpp} σύ$^{rpa-s}$. **v.5** εἰ^{qo} δέ^{c} ὁ^{dnfs} ἀδικία^{nnfs} ἐγώ$^{rpg-p}$ θεός^{ngms} δικαιοσύνη^{nafs} συνίστημι^{vipa3s} τίς^{rqans} λέγω^{vifa1p} μή^{xo} ἄδικος^{anmsn} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} ἐπιφέρω^{vppanms} ὁ^{dafs} ὀργή^{nafs} κατά^{p} ἄνθρωπος^{nams} λέγω^{vipa1s}. **v.6** μή^{xo} γίνομαι^{voad3s} ἐπεί^{c} πῶς^{bo} κρίνω^{vipa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dams} κόσμος^{nams}. **v.7** εἰ^{qo} γάρ^{c} ὁ^{dnfs} ἀλήθεια^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἐν^{p} ὁ^{ddns} ἐμός^{rsdns} ψεῦσμα^{ndns} περισσεύω^{viaa3s} εἰς^{p} ὁ^{dafs} δόξα^{nafs} αὐτός^{rpgms} τίς^{rqans} ἔτι^{bo} κἀγώ$^{rpn-s}$ ὡς^{bo} ἁμαρτωλός^{anmsn} κρίνω^{vipp1s}. **v.8** καί^{c} μή^{xo} καθώς^{bo} βλασφημέω^{vipp1p} καί^{c} καθώς^{bo} φημί^{vipx3p} τι-σρινμπ ἐγώ$^{rpa-p}$ λέγω^{vnpa} ὅτι^{c} ποιέω^{vsaa1p} ὁ^{danp} κακός^{aanpn} ἵνα^{c} ἔρχομαι^{vsaa3s} ὁ^{dnnp} ἀγαθός^{annpn} ὅς^{rrgmp} ὁ^{dnns} κρίμα^{nnns} ἔνδικος^{annsn} εἰμί^{vipx3s}. **v.9** τίς^{rqnns} οὖν^{c} προέχω^{vipn1p} οὐ^{xo} πάντως^{bo} προαιτιάομαι^{viad1p} γάρ^{c} Ἰουδαῖος^{aampn} τέ^{xo} καί^{c} Ἕλλην^{namp} πᾶς^{aampn} ὑπό^{p} ἁμαρτία^{nafs} εἰμί^{vnpx}. **v.10** καθώς^{bo} γράφω^{vixp3s} ὅτι^{c} οὐ^{xo} εἰμί^{vipx3s} δίκαιος^{anmsn} οὐδέ^{bo} εἷς^{nnms}. **v.11** οὐ^{xo} εἰμί^{vipx3s} ὁ^{dnms} συνίημι^{vppanms} οὐ^{xo} εἰμί^{vipx3s} ὁ^{dnms} ἐκζητέω^{vppanms} ὁ^{dams} θεός^{nams}. **v.12** πᾶς^{anmpn} ἐκκλίνω^{viaa3p} ἅμα^{bo} ἀχρειόω^{viap3p} οὐ^{xo} εἰμί^{vipx3s} ποιέω^{vppanms} χρηστότης^{nafs} οὐ^{xo} εἰμί^{vipx3s} ἕως^{c} εἷς^{ngms}. **v.13** τάφος^{nnms} ἀνοίγω^{vpxpnms} ὁ^{dnms} λάρυγξ^{nnms} αὐτός^{rpgmp} ὁ^{ddfp} γλῶσσα^{ndfp} αὐτός^{rpgmp} δολιόω^{viia3p} ἰός^{nnms} ἀσπίς^{ngfp} ὑπό^{p} ὁ^{danp} χεῖλος^{nanp} αὐτός^{rpgmp}. **v.14** ὅς^{rrgmp} ὁ^{dnns} στόμα^{nnns} ἀρά^{ngfs} καί^{c} πικρία^{ngfs} γέμω^{vipa3s}.

16 δες αὐτῶν ἐκχέαι αἷμα. σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς
17, 18 ὁδοῖς αὐτῶν. καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. οὐκ ἔστιν
19 φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. Οἴδαμεν δὲ
ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ ἵνα πᾶν στόμα
20 φραγῇ καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ, δι-
ότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον
21 αὐτοῦ διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Νυνὶ δὲ χωρὶς
νόμου δικαιοσύνη θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ
22 τοῦ νόμου καὶ τῶν προφητῶν. δικαιοσύνη δὲ θεοῦ διὰ
πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πι-
23 στεύοντας οὐ γάρ ἐστιν διαστολή. πάντες γὰρ ἥμαρτον καὶ
24 ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ. δικαιούμενοι δωρεὰν τῇ
αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ,
25 ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ
αἵματι εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ διὰ τὴν πάρεσιν
26 τῶν προγεγονότων ἁμαρτημάτων. ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ
πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ εἰς τὸ
εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.
27 Ποῦ οὖν ἡ καύχησις ἐξεκλείσθη διὰ ποίου νόμου τῶν ἔρ-
28 γων οὐχί ἀλλὰ διὰ νόμου πίστεως. λογιζόμεθα οὖν πίστει

---

v.15 ὀξύς^{anmpn} ὁ^{dnmp} πούς^{nnmp} αὐτός^{rpgmp} ἐκχέω^{vnaa} αἷμα^{nans}. **v.16** σύντριμμα^{nnns} καί^{c} ταλαιπωρία^{nnfs} ἐν^{p} ὁ^{ddfp} ὁδός^{ndfp} αὐτός^{rpgmp}. **v.17** καί^{c} ὁδός^{nafs} εἰρήνη^{ngfs} οὐ^{xo} γινώσκω^{viaa3p}. **v.18** οὐ^{xo} εἰμί^{vipx3s} φόβος^{nnms} θεός^{ngms} ἀπέναντι^{bo} ὁ^{dgmp} ὀφθαλμός^{ngmp} αὐτός^{rpgmp}. **v.19** οἶδα^{vixa1p} δέ^{c} ὅτι^{c} ὅσος^{rcanp} ὁ^{dnms} νόμος^{nnms} λέγω^{vipa3s} ὁ^{ddmp} ἐν^{p} ὁ^{ddms} νόμος^{ndms} λαλέω^{vipa3s} ἵνα^{c} πᾶς^{annsn} στόμα^{nnns} φράσσω^{vsap3s} καί^{c} ὑπόδικος^{anmsn} γίνομαι^{vsad3s} πᾶς^{anmsn} ὁ^{dnms} κόσμος^{nnms} ὁ^{ddms} θεός^{ndms}. **v.20** διότι^{c} ἐκ^{p} ἔργον^{ngnp} νόμος^{ngms} οὐ^{xo} δικαιόω^{vifp3s} πᾶς^{anfsn} σάρξ^{nnfs} ἐνώπιον^{bo} αὐτός^{rpgms} διά^{p} γάρ^{c} νόμος^{ngms} ἐπίγνωσις^{nnfs} ἁμαρτία^{ngfs}. **v.21** νυνί^{bo} δέ^{c} χωρίς^{bo} νόμος^{ngms} δικαιοσύνη^{nnfs} θεός^{ngms} φανερόω^{vixp3s} μαρτυρέω^{vpppnfs} ὑπό^{p} ὁ^{dgms} νόμος^{ngms} καί^{c} ὁ^{dgmp} προφήτης^{ngmp}. **v.22** δικαιοσύνη^{nnfs} δέ^{c} θεός^{ngms} διά^{p} πίστις^{ngfs} Ἰησοῦς^{ngms} Χριστός^{ngms} εἰς^{p} πᾶς^{aampn} καί^{c} ἐπί^{p} πᾶς^{aampn} ὁ^{damp} πιστεύω^{vppaamp} οὐ^{xo} γάρ^{c} εἰμί^{vipx3s} διαστολή^{nnfs}. **v.23** πᾶς^{anmpn} γάρ^{c} ἁμαρτάνω^{viaa3p} καί^{c} ὑστερέω^{vipp3p} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} θεός^{ngms}. **v.24** δικαιόω^{vpppnmp} δωρεάν^{bo} ὁ^{ddfs} αὐτός^{rpgms} χάρις^{ndfs} διά^{p} ὁ^{dgfs} ἀπολύτρωσις^{ngfs} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.25** ὅς^{rrams} προτίθημι^{viam3s} ὁ^{dnms} θεός^{nnms} ἱλαστήριος^{nans} διά^{p} ὁ^{dgfs} πίστις^{ngfs} ἐν^{p} ὁ^{ddns} αὐτός^{rpgms} αἷμα^{ndns} εἰς^{p} ἔνδειξις^{nafs} ὁ^{dgfs} δικαιοσύνη^{ngfs} αὐτός^{rpgms} διά^{p} ὁ^{dafs} πάρεσις^{nafs} ὁ^{dgnp} προγίνομαι^{vpxagnp} ἁμάρτημα^{ngnp}. **v.26** ἐν^{p} ὁ^{ddfs} ἀνοχή^{ndfs} ὁ^{dgms} θεός^{ngms} πρός^{p} ἔνδειξις^{nafs} ὁ^{dgfs} δικαιοσύνη^{ngfs} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddms} νῦν^{bo} καιρός^{ndms} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} αὐτός^{rpams} δίκαιος^{aamsn} καί^{c} δικαιόω^{vppaams} ὁ^{dams} ἐκ^{p} πίστις^{ngfs} Ἰησοῦς^{ngms}. **v.27** ποῦ^{xo} οὖν^{c} ὁ^{dnfs} καύχησις^{nnfs} ἐκκλείω^{viap3s} διά^{p} ποῖος^{rqgms} νόμος^{ngms} ὁ^{dgnp} ἔργον^{ngnp} οὐχί^{xo} ἀλλά^{c} διά^{p} νόμος^{ngms} πίστις^{ngfs}.

δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου. ἢ Ἰουδαίων ὁ 29
θεὸς μόνον οὐχὶ δὲ καὶ ἐθνῶν ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς 30
ὁ θεός ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν
διὰ τῆς πίστεως. νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως 31
μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν.

Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κα- **4**
τὰ σάρκα. εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη ἔχει καύ- 2
χημα ἀλλ οὐ πρὸς τὸν θεόν. τί γὰρ ἡ γραφὴ λέγει Ἐπί- 3
στευσεν δὲ Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύ-
νην. τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν 4
ἀλλὰ κατὰ ὀφείλημα. τῷ δὲ μὴ ἐργαζομένῳ πιστεύοντι δὲ 5
ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ λογίζεται ἡ πίστις αὐτοῦ εἰς
δικαιοσύνην, καθάπερ καὶ Δαυὶδ λέγει τὸν μακαρισμὸν 6
τοῦ ἀνθρώπου ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων.
Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν 7
αἱ ἁμαρτίαι, μακάριος ἀνὴρ ᾧ οὗ μὴ λογίσηται κύριος ἁ- 8
μαρτίαν. ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ καὶ 9
ἐπὶ τὴν ἀκροβυστίαν λέγομεν γάρ ὅτι Ἐλογίσθη τῷ Ἀβραὰμ
ἡ πίστις εἰς δικαιοσύνην. πῶς οὖν ἐλογίσθη ἐν περιτομῇ 10
ὄντι ἢ ἐν ἀκροβυστίᾳ οὐκ ἐν περιτομῇ ἀλλ ἐν ἀκροβυστίᾳ,

---

v.28 λογίζομαι^{vipn1p} οὖν^{c} πίστις^{ndfs} δικαιόω^{vnpp} ἄνθρωπος^{nams} χωρίς^{bo} ἔργον^{ngnp} νόμος^{ngms}. **v.29** ἢ^{xo} Ἰουδαῖος^{agmpn} ὁ^{dnms} θεός^{nnms} μόνος^{bo} οὐχί^{xo} δέ^{c} καί^{c} ἔθνος^{ngnp} ναί^{xo} καί^{c} ἔθνος^{ngnp}. **v.30** ἐπείπερ^{c} εἷς^{nnms} ὁ^{dnms} θεός^{nnms} ὅς^{rrnms} δικαιόω^{vifa3s} περιτομή^{nafs} ἐκ^{p} πίστις^{ngfs} καί^{c} ἀκροβυστία^{nafs} διά^{p} ὁ^{dgfs} πίστις^{ngfs}. **v.31** νόμος^{nams} οὖν^{c} καταργέω^{vipa1p} διά^{p} ὁ^{dgfs} πίστις^{ngfs} μή^{xo} γίνομαι^{voad3s} ἀλλά^{c} νόμος^{nams} ἵστημι^{vipa1p}. **4. v.1** τίς^{rqans} οὖν^{c} λέγω^{vifa1p} Ἀβραάμ^{tp} ὁ^{dams} πατήρ^{nams} ἐγώ$^{rpg-p}$ εὑρίσκω^{vnxa} κατά^{p} σάρξ^{nafs}. **v.2** εἰ^{qo} γάρ^{c} Ἀβραάμ^{tp} ἐκ^{p} ἔργον^{ngnp} δικαιόω^{viap3s} ἔχω^{vipa3s} καύχημα^{nans} ἀλλά^{c} οὐ^{xo} πρός^{p} ὁ^{dams} θεός^{nams}. **v.3** τίς^{rqans} γάρ^{c} ὁ^{dnfs} γραφή^{nnfs} λέγω^{vipa3s} πιστεύω^{viaa3s} δέ^{c} Ἀβραάμ^{tp} ὁ^{ddms} θεός^{ndms} καί^{c} λογίζομαι^{viap3s} αὐτός^{rpdms} εἰς^{p} δικαιοσύνη^{nafs}. **v.4** ὁ^{ddms} δέ^{c} ἐργάζομαι^{vppndms} ὁ^{dnms} μισθός^{nnms} οὐ^{xo} λογίζομαι^{vipn3s} κατά^{p} χάρις^{nafs} ἀλλά^{c} κατά^{p} ὀφείλημα^{nans}. **v.5** ὁ^{ddms} δέ^{c} μή^{xo} ἐργάζομαι^{vppndms} πιστεύω^{vppadms} δέ^{c} ἐπί^{p} ὁ^{dams} δικαιόω^{vppaams} ὁ^{dams} ἀσεβής^{aamsn} λογίζομαι^{vipn3s} ὁ^{dnfs} πίστις^{nnfs} αὐτός^{rpgms} εἰς^{p} δικαιοσύνη^{nafs}. **v.6** καθάπερ^{bo} καί^{c} Δαυίδ^{tp} λέγω^{vipa3s} ὁ^{dams} μακαρισμός^{nams} ὁ^{dgms} ἄνθρωπος^{ngms} ὅς^{rrdms} ὁ^{dnms} θεός^{nnms} λογίζομαι^{vipn3s} δικαιοσύνη^{nafs} χωρίς^{bo} ἔργον^{ngnp}. **v.7** μακάριος^{anmpn} ὅς^{rrgmp} ἀφίημι^{viap3p} ὁ^{dnfp} ἀνομία^{nnfp} καί^{c} ὅς^{rrgmp} ἐπικαλύπτω^{viap3p} ὁ^{dnfp} ἁμαρτία^{nnfp}. **v.8** μακάριος^{anmsn} ἀνήρ^{nnms} ὅς^{rrdms} ὅς^{xo} μή^{xo} λογίζομαι^{vsad3s} κύριος^{nnms} ἁμαρτία^{nafs}. **v.9** ὁ^{dnms} μακαρισμός^{nnms} οὖν^{c} οὗτος^{rdnms} ἐπί^{p} ὁ^{dafs} περιτομή^{nafs} ἤ^{xo} καί^{c} ἐπί^{p} ὁ^{dafs} ἀκροβυστία^{nafs} λέγω^{vipa1p} γάρ^{c} ὅτι^{c} λογίζομαι^{viap3s} ὁ^{ddms} Ἀβραάμ^{tp} ὁ^{dnfs} πίστις^{nnfs} εἰς^{p} δικαιοσύνη^{nafs}. **v.10** πῶς^{bo} οὖν^{c} λογίζομαι^{viap3s} ἐν^{p} περιτομή^{ndfs} εἰμί^{vppxdms} ἤ^{xo} ἐν^{p} ἀκροβυστία^{ndfs} οὐ^{xo} ἐν^{p} περιτομή^{ndfs} ἀλλά^{c} ἐν^{p} ἀκροβυστία^{ndfs}.

11 καὶ σημεῖον ἔλαβεν περιτομῆς σφραγῖδα τῆς δικαιοσύνης
τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ εἰς τὸ εἶναι αὐτὸν πατέρα
πάντων τῶν πιστευόντων δι᾽ ἀκροβυστίας εἰς τὸ λογισθῆναι
12 καὶ αὐτοῖς τὴν δικαιοσύνην. καὶ πατέρα περιτομῆς τοῖς
οὐκ ἐκ περιτομῆς μόνον ἀλλὰ καὶ τοῖς στοιχοῦσιν τοῖς ἴ-
χνεσιν τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ τοῦ πατρὸς ἡμῶν
13 Ἀβραάμ. Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ
τῷ σπέρματι αὐτοῦ τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου
14 ἀλλὰ διὰ δικαιοσύνης πίστεως. εἰ γὰρ οἱ ἐκ νόμου κλη-
ρονόμοι κεκένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία,
15 ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται, οὗ γὰρ οὐκ ἔστιν νόμος
16 οὐδὲ παράβασις. διὰ τοῦτο ἐκ πίστεως ἵνα κατὰ χάριν εἰς
τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι οὐ τῷ ἐκ
τοῦ νόμου μόνον ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ ὅς ἐστιν
17 πατὴρ πάντων ἡμῶν. καθὼς γέγραπται ὅτι Πατέρα πολλῶν
ἐθνῶν τέθεικά σε κατέναντι οὗ ἐπίστευσεν θεοῦ τοῦ ζῳοποι-
οῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα,
18 ὃς παρ ἐλπίδα ἐπ ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν
πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον, Οὕτως ἔσται τὸ
19 σπέρμα σου. καὶ μὴ ἀσθενήσας τῇ πίστει οὐ κατενόησεν
τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον ἑκατονταετής που ὑ-

---

v.11 καί^{c} σημεῖον^{nans} λαμβάνω^{viaa3s} περιτομή^{ngfs} σφραγίς^{nafs} ὁ^{dgfs} δικαιοσύνη^{ngfs} ὁ^{dgfs} πίστις^{ngfs} ὁ^{dgfs} ἐν^{p} ὁ^{ddfs} ἀκροβυστία^{ndfs} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} αὐτός^{rpams} πατήρ^{nams} πᾶς^{agmpn} ὁ^{dgmp} πιστεύω^{vppagmp} διά^{p} ἀκροβυστία^{ngfs} εἰς^{p} ὁ^{dans} λογίζομαι^{vnap} καί^{c} αὐτός^{rpdmp} ὁ^{dafs} δικαιοσύνη^{nafs}. **v.12** καί^{c} πατήρ^{nams} περιτομή^{ngfs} ὁ^{ddmp} οὐ^{xo} ἐκ^{p} περιτομή^{ngfs} μόνος^{bo} ἀλλά^{c} καί^{c} ὁ^{ddmp} στοιχέω^{vppadmp} ὁ^{ddnp} ἴχνος^{ndnp} ὁ^{dgfs} πίστις^{ngfs} ὁ^{dgfs} ἐν^{p} ὁ^{ddfs} ἀκροβυστία^{ndfs} ὁ^{dgms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἀβραάμ^{tp}. **v.13** οὐ^{xo} γάρ^{c} διά^{p} νόμος^{ngms} ὁ^{dnfs} ἐπαγγελία^{nnfs} ὁ^{ddms} Ἀβραάμ^{tp} ἤ^{xo} ὁ^{ddns} σπέρμα^{ndns} αὐτός^{rpgms} ὁ^{dnns} κληρονόμος^{nams} αὐτός^{rpams} εἰμί^{vnpx} ὁ^{dgms} κόσμος^{ngms} ἀλλά^{c} διά^{p} δικαιοσύνη^{ngfs} πίστις^{ngfs}. **v.14** εἰ^{qo} γάρ^{c} ὁ^{dnmp} ἐκ^{p} νόμος^{ngms} κληρονόμος^{nnmp} κενόω^{vixp3s} ὁ^{dnfs} πίστις^{nnfs} καί^{c} καταργέω^{vixp3s} ὁ^{dnfs} ἐπαγγελία^{nnfs}. **v.15** ὁ^{dnms} γάρ^{c} νόμος^{nnms} ὀργή^{nafs} κατεργάζομαι^{vipn3s} ὅς^{bo} γάρ^{c} οὐ^{xo} εἰμί^{vipx3s} νόμος^{nnms} οὐδέ^{bo} παράβασις^{nnfs}. **v.16** διά^{p} οὗτος^{rdans} ἐκ^{p} πίστις^{ngfs} ἵνα^{c} κατά^{p} χάρις^{nafs} εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} βέβαιος^{aafsn} ὁ^{dafs} ἐπαγγελία^{nafs} πᾶς^{adnsn} ὁ^{ddns} σπέρμα^{ndns} οὐ^{xo} ὁ^{ddns} ἐκ^{p} ὁ^{dgms} νόμος^{ngms} μόνος^{bo} ἀλλά^{c} καί^{c} ὁ^{ddns} ἐκ^{p} πίστις^{ngfs} Ἀβραάμ^{tp} ὅς^{rrnms} εἰμί^{vipx3s} πατήρ^{nnms} πᾶς^{agmpn} ἐγώ$^{rpg-p}$. **v.17** καθώς^{bo} γράφω^{vixp3s} ὅτι^{c} πατήρ^{nams} πολύς^{agnpn} ἔθνος^{ngnp} τίθημι^{vixa1s} σύ$^{rpa-s}$ κατέναντι^{bo} ὅς^{rrgms} πιστεύω^{viaa3s} θεός^{ngms} ὁ^{dgms} ζῳοποιέω^{vppagms} ὁ^{damp} νεκρός^{aampn} καί^{c} καλέω^{vppagms} ὁ^{danp} μή^{xo} εἰμί^{vppxanp} ὡς^{bo} εἰμί^{vppxanp}. **v.18** ὅς^{rrnms} παρά^{p} ἐλπίς^{nafs} ἐπί^{p} ἐλπίς^{ndfs} πιστεύω^{viaa3s} εἰς^{p} ὁ^{dans} γίνομαι^{vnad} αὐτός^{rpams} πατήρ^{nams} πολύς^{agnpn} ἔθνος^{ngnp} κατά^{p} ὁ^{dans} λέγω^{vpxpans} οὕτω^{bo} εἰμί^{vifx3s} ὁ^{dnns} σπέρμα^{nnns} σύ$^{rpg-s}$.

πάρχων καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, εἰς δὲ τὴν 20
ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ ἀλλ ἐνεδυνα-
μώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ. καὶ πληροφορηθεὶς ὅτι 21
ὃ ἐπήγγελται δυνατός ἐστιν καὶ ποιῆσαι. διὸ καὶ ἐλογίσθη 22
αὐτῷ εἰς δικαιοσύνην. Οὐκ ἐγράφη δὲ δι᾽ αὐτὸν μόνον ὅτι 23
ἐλογίσθη αὐτῷ. ἀλλὰ καὶ δι᾽ ἡμᾶς οἷς μέλλει λογίζεσθαι 24
τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν
ἐκ νεκρῶν. ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ 25
ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν **5**
θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. δι᾽ οὗ καὶ τὴν 2
προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν
ᾗ ἑστήκαμεν καὶ καυχώμεθα ἐπ ἐλπίδι τῆς δόξης τοῦ θεοῦ.
οὐ μόνον δέ ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν εἰδό- 3
τες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται. ἡ δὲ ὑπομονὴ 4
δοκιμήν ἡ δὲ δοκιμὴ ἐλπίδα. ἡ δὲ ἐλπὶς οὐ καταισχύ- 5
νει ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν
διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν. ἔτι γὰρ Χριστὸς 6
ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν.
μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀ- 7

---

v.19 καί^{c} μή^{xo} ἀσθενέω^{vpaanms} ὁ^{ddfs} πίστις^{ndfs} ὅς^{xo} κατανοέω^{viaa3s} ὁ^{dans} ἑαυτοῦ^{rxgms} σῶμα^{nans} ἤδη^{bo} νεκρόω^{vpxpans} ἑκατονταετής^{anmsn} πού^{xo} ὑπάρχω^{vppanms} καί^{c} ὁ^{dafs} νέκρωσις^{nafs} ὁ^{dgfs} μήτρα^{ngfs} Σάρρα^{ngfs}. **v.20** εἰς^{p} δέ^{c} ὁ^{dafs} ἐπαγγελία^{nafs} ὁ^{dgms} θεός^{ngms} οὐ^{xo} διακρίνω^{viap3s} ὁ^{ddfs} ἀπιστία^{ndfs} ἀλλά^{c} ἐνδυναμόω^{viap3s} ὁ^{ddfs} πίστις^{ndfs} δίδωμι^{vpaanms} δόξα^{nafs} ὁ^{ddms} θεός^{ndms}. **v.21** καί^{c} πληροφορέω^{vpapnms} ὅτι^{c} ὅς^{rrans} ἐπαγγέλλομαι^{vixn3s} δυνατός^{anmsn} εἰμί^{vipx3s} καί^{c} ποιέω^{vnaa}. **v.22** διό^{c} καί^{c} λογίζομαι^{viap3s} αὐτός^{rpdms} εἰς^{p} δικαιοσύνη^{nafs}. **v.23** οὐ^{xo} γράφω^{viap3s} δέ^{c} διά^{p} αὐτός^{rpams} μόνος^{bo} ὅτι^{c} λογίζομαι^{viap3s} αὐτός^{rpdms}. **v.24** ἀλλά^{c} καί^{c} διά^{p} ἐγώ$^{rpa-p}$ ὅς^{rrdmp} μέλλω^{vipa3s} λογίζομαι^{vnpp} ὁ^{ddmp} πιστεύω^{vppadmp} ἐπί^{p} ὁ^{dams} ἐγείρω^{vpaaams} Ἰησοῦς^{nams} ὁ^{dams} κύριος^{nams} ἐγώ$^{rpg-p}$ ἐκ^{p} νεκρός^{agmpn}. **v.25** ὅς^{rrnms} παραδίδωμι^{viap3s} διά^{p} ὁ^{danp} παράπτωμα^{nanp} ἐγώ$^{rpg-p}$ καί^{c} ἐγείρω^{viap3s} διά^{p} ὁ^{dafs} δικαίωσις^{nafs} ἐγώ$^{rpg-p}$. **5. v.1** δικαιόω^{vpapnmp} οὖν^{c} ἐκ^{p} πίστις^{ngfs} εἰρήνη^{nafs} ἔχω^{vipa1p} πρός^{p} ὁ^{dams} θεός^{nams} διά^{p} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.2** διά^{p} ὅς^{rrgms} καί^{c} ὁ^{dafs} προσαγωγή^{nafs} ἔχω^{vixa1p} ὁ^{ddfs} πίστις^{ndfs} εἰς^{p} ὁ^{dafs} χάρις^{nafs} οὗτος^{rdafs} ἐν^{p} ὅς^{rrdfs} ἵστημι^{vixa1p} καί^{c} καυχάομαι^{vipn1p} ἐπί^{p} ἐλπίς^{ndfs} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} θεός^{ngms}. **v.3** οὐ^{xo} μόνος^{bo} δέ^{c} ἀλλά^{c} καί^{c} καυχάομαι^{vipn1p} ἐν^{p} ὁ^{ddfp} θλῖψις^{ndfp} οἶδα^{vpxanmp} ὅτι^{c} ὁ^{dnfs} θλῖψις^{nnfs} ὑπομονή^{nafs} κατεργάζομαι^{vipn3s}. **v.4** ὁ^{dnfs} δέ^{c} ὑπομονή^{nnfs} δοκιμή^{nafs} ὁ^{dnfs} δέ^{c} δοκιμή^{nnfs} ἐλπίς^{nafs}. **v.5** ὁ^{dnfs} δέ^{c} ἐλπίς^{nnfs} οὐ^{xo} καταισχύνω^{vipa3s} ὅτι^{c} ὁ^{dnfs} ἀγάπη^{nnfs} ὁ^{dgms} θεός^{ngms} ἐκχέω^{vixp3s} ἐν^{p} ὁ^{ddfp} καρδία^{ndfp} ἐγώ$^{rpg-p}$ διά^{p} πνεῦμα^{ngns} ἅγιος^{agnsn} ὁ^{dgns} δίδωμι^{vpapgns} ἐγώ$^{rpd-p}$. **v.6** ἔτι^{bo} γάρ^{c} Χριστός^{nnms} εἰμί^{vppxgmp} ἐγώ$^{rpg-p}$ ἀσθενής^{agmpn} κατά^{p} καιρός^{nams} ὑπέρ^{p} ἀσεβής^{agmpn} ἀποθνῄσκω^{viaa3s}.

8 γαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν, συνίστησιν δὲ τὴν
ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς ὅτι ἔτι ἁμαρτωλῶν ὄντων
9 ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. πολλῷ οὖν μᾶλλον
δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα δι᾽ αὐτοῦ
10 ἀπὸ τῆς ὀργῆς. εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ
διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ πολλῷ μᾶλλον καταλλα-
11 γέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ, οὐ μόνον δέ ἀλλὰ καὶ
καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
12 δι᾽ οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν. Διὰ τοῦτο ὥσπερ δι᾽
ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν καὶ διὰ
τῆς ἁμαρτίας ὁ θάνατος καὶ οὕτως εἰς πάντας ἀνθρώπους
13 ὁ θάνατος διῆλθεν ἐφ ᾧ πάντες ἥμαρτον, ἄχρι γὰρ νόμου
ἁμαρτία ἦν ἐν κόσμῳ ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος
14 νόμου. ἀλλ᾽ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μω-
σέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς
15 παραβάσεως Ἀδάμ ὅς ἐστιν τύπος τοῦ μέλλοντος. Ἀλλ οὐχ
ὡς τὸ παράπτωμα οὕτως καὶ τὸ χάρισμα, εἰ γὰρ τῷ τοῦ ἑνὸς
παραπτώματι οἱ πολλοὶ ἀπέθανον πολλῷ μᾶλλον ἡ χάρις
τοῦ θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰη-
16 σοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν. καὶ οὐχ ὡς

---

v.7 μόλις^{bo} γάρ^{c} ὑπέρ^{p} δίκαιος^{agmsn} τι-σρινμσ ἀποθνῄσκω^{vifd3s} ὑπέρ^{p} γάρ^{c} ὁ^{dgms} ἀγαθός^{agmsn} τάχα^{bo} τι-σρινμσ καί^{c} τολμάω^{vipa3s} ἀποθνῄσκω^{vnaa}. **v.8** συνίστημι^{vipa3s} δέ^{c} ὁ^{dafs} ἑαυτοῦ^{rxgms} ἀγάπη^{nafs} εἰς^{p} ἐγώ$^{rpa-p}$ ὁ^{dnms} θεός^{nnms} ὅτι^{c} ἔτι^{bo} ἁμαρτωλός^{agmpn} εἰμί^{vppxgmp} ἐγώ$^{rpg-p}$ Χριστός^{nnms} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ ἀποθνῄσκω^{viaa3s}. **v.9** πολύς^{admsn} οὖν^{c} μᾶλλον^{bo} δικαιόω^{vpapnmp} νῦν^{bo} ἐν^{p} ὁ^{ddns} αἷμα^{ndns} αὐτός^{rpgms} σῴζω^{vifp1p} διά^{p} αὐτός^{rpgms} ἀπό^{p} ὁ^{dgfs} ὀργή^{ngfs}. **v.10** εἰ^{qo} γάρ^{c} ἐχθρός^{annmpn} εἰμί^{vppxnmp} καταλλάσσω^{viap1p} ὁ^{ddms} θεός^{ndms} διά^{p} ὁ^{dgms} θάνατος^{ngms} ὁ^{dgms} υἱός^{ngms} αὐτός^{rpgms} πολύς^{admsn} μᾶλλον^{bo} καταλλάσσω^{vpapnmp} σῴζω^{vifp1p} ἐν^{p} ὁ^{ddfs} ζωή^{ndfs} αὐτός^{rpgms}. **v.11** οὐ^{xo} μόνος^{bo} δέ^{c} ἀλλά^{c} καί^{c} καυχάομαι^{vppnnmp} ἐν^{p} ὁ^{ddms} θεός^{ndms} διά^{p} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} ὅς^{rrgms} νῦν^{bo} ὁ^{dafs} καταλλαγή^{nafs} λαμβάνω^{viaa1p}. **v.12** διά^{p} οὗτος^{rdans} ὥσπερ^{bo} διά^{p} εἷς^{ngms} ἄνθρωπος^{ngms} ὁ^{dnfs} ἁμαρτία^{nnfs} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} εἰσέρχομαι^{viaa3s} καί^{c} διά^{p} ὁ^{dgfs} ἁμαρτία^{ngfs} ὁ^{dnms} θάνατος^{nnms} καί^{c} οὕτω^{bo} εἰς^{p} πᾶς^{aampn} ἄνθρωπος^{namp} ὁ^{dnms} θάνατος^{nnms} διέρχομαι^{viaa3s} ἐπί^{p} ὅς^{rrdns} πᾶς^{anmpn} ἁμαρτάνω^{viaa3p}. **v.13** ἄχρι^{p} γάρ^{c} νόμος^{ngms} ἁμαρτία^{nnfs} εἰμί^{viix3s} ἐν^{p} κόσμος^{ndms} ἁμαρτία^{nnfs} δέ^{c} οὐ^{xo} ἐλλογέω^{vipp3s} μή^{xo} εἰμί^{vppxgms} νόμος^{ngms}. **v.14** ἀλλά^{c} βασιλεύω^{viaa3s} ὁ^{dnms} θάνατος^{nnms} ἀπό^{p} Ἀδάμ^{tp} μέχρι^{bo} Μωϋσῆς^{ngms} καί^{c} ἐπί^{p} ὁ^{damp} μή^{xo} ἁμαρτάνω^{vpaaamp} ἐπί^{p} ὁ^{ddns} ὁμοίωμα^{ndns} ὁ^{dgfs} παράβασις^{ngfs} Ἀδάμ^{tp} ὅς^{rrnms} εἰμί^{vipx3s} τύπος^{nnms} ὁ^{dgms} μέλλω^{vppagms}. **v.15** ἀλλά^{c} οὐ^{xo} ὡς^{bo} ὁ^{dnns} παράπτωμα^{nnns} οὕτω^{bo} καί^{c} ὁ^{dnns} χάρισμα^{nnns} εἰ^{qo} γάρ^{c} ὁ^{ddns} ὁ^{dgms} εἷς^{ngms} παράπτωμα^{ndns} ὁ^{dnmp} πολύς^{anmpn} ἀποθνῄσκω^{viaa3p} πολύς^{admsn} μᾶλλον^{bo} ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dnfs} δωρεά^{nnfs} ἐν^{p} χάρις^{ndfs} ὁ^{ddfs} ὁ^{dgms} εἷς^{ngms} ἄνθρωπος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} εἰς^{p} ὁ^{damp} πολύς^{aampn} περισσεύω^{viaa3s}.

δι᾽ ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα, τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐ- 17
βασίλευσεν διὰ τοῦ ἑνός πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσιν διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. Ἄρα 18
οὖν ὡς δι᾽ ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα οὕτως καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς, ὥσπερ γὰρ διὰ τῆς παρακοῆς 19
τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί οὕτως καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παρά- 20
πτωμα, οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις. ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ 21
οὕτως καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

Τί οὖν ἐροῦμεν ἐπιμένομεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλε- **6**
ονάσῃ. μὴ γένοιτο οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ πῶς 2
ἔτι ζήσομεν ἐν αὐτῇ. ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν 3
εἰς Χριστὸν Ἰησοῦν εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνα- 4

---

v.16 καίᶜ οὐˣᵒ ὡsᵇᵒ διάᵖ εἷsⁿᵍᵐˢ ἁμαρτάνωᵛᵖᵃᵃᵍᵐˢ ὁᵈⁿⁿˢ δώρημαⁿⁿⁿˢ ὁᵈⁿⁿˢ μένˣᵒ γάρᶜ κρίμαⁿⁿⁿˢ ἐκᵖ εἷsⁿᵍᵐˢ εἰsᵖ κατάκριμαⁿᵃⁿˢ ὁᵈⁿⁿˢ δέᶜ χάρισμαⁿⁿⁿˢ ἐκᵖ πολύsᵃᵍⁿᵖⁿ παράπτωμαⁿᵍⁿᵖ εἰsᵖ δικαίωμαⁿᵃⁿˢ. **v.17** εἰᵠᵒ γάρᶜ ὁᵈᵈⁿˢ ὁᵈᵍᵐˢ εἷsⁿᵍᵐˢ παράπτωμαⁿᵈⁿˢ ὁᵈⁿᵐˢ θάνατοsⁿⁿᵐˢ βασιλεύωᵛⁱᵃᵃ³ˢ διάᵖ ὁᵈᵍᵐˢ εἷsⁿᵍᵐˢ πολύsᵃᵈᵐsⁿ μᾶλλονᵇᵒ ὁᵈⁿᵐᵖ ὁᵈᵃᶠˢ περισσείαⁿᵃᶠˢ ὁᵈᵍᶠˢ χάρισᵍᶠˢ καίᶜ ὁᵈᵍᶠˢ δωρεάᵍᶠˢ ὁᵈᵍᶠˢ δικαιοσύνηᵍᶠˢ λαμβάνωᵛᵖᵖᵃⁿᵐᵖ ἐνᵖ ζωῇⁿᵈᶠˢ βασιλεύωᵛⁱᶠᵃ³ᵖ διάᵖ ὁᵈᵍᵐˢ εἷsⁿᵍᵐˢ Ἰησοῦsⁿᵍᵐˢ Χριστόsⁿᵍᵐˢ. **v.18** ἄραˣᵒ οὖνᶜ ὡsᵇᵒ διάᵖ εἷsⁿᵍᵐˢ παράπτωμαⁿᵍⁿˢ εἰsᵖ πᾶsᵃᵃᵐᵖⁿ ἄνθρωποsⁿᵃᵐᵖ εἰsᵖ κατάκριμαⁿᵃⁿˢ οὕτωᵇᵒ καίᶜ διάᵖ εἷsⁿᵍᵐˢ δικαίωμαⁿᵍⁿˢ εἰsᵖ πᾶsᵃᵃᵐᵖⁿ ἄνθρωποsⁿᵃᵐᵖ εἰsᵖ δικαίωσιsⁿᵃᶠˢ ζωήⁿᵍᶠˢ. **v.19** ὥσπερᵇᵒ γάρᶜ διάᵖ ὁᵈᵍᶠˢ παρακοήᵍᶠˢ ὁᵈᵍᵐˢ εἷsⁿᵍᵐˢ ἄνθρωποsⁿᵍᵐˢ ἁμαρτωλόsᵃⁿᵐᵖⁿ καθίστημιᵛⁱᵃᵖ³ᵖ ὁᵈⁿᵐᵖ πολύsᵃⁿᵐᵖⁿ οὕτωᵇᵒ καίᶜ διάᵖ ὁᵈᵍᶠˢ ὑπακοῆᵍᶠˢ ὁᵈᵍᵐˢ εἷsⁿᵍᵐˢ δίκαιοsᵃⁿᵐᵖⁿ καθίστημιᵛⁱᶠᵖ³ᵖ ὁᵈⁿᵐᵖ πολύsᵃⁿᵐᵖⁿ. **v.20** νόμοsⁿⁿᵐˢ δέᶜ παρεισέρχομαιᵛⁱᵃᵃ³ˢ ἵναᶜ πλεονάζωᵛˢᵃᵃ³ˢ ὁᵈⁿⁿˢ παράπτωμαⁿⁿⁿˢ ὅsᵇᵒ δέᶜ πλεονάζωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᶠˢ ἁμαρτίαⁿⁿᶠˢ ὑπερπερισσεύωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᶠˢ χάρισⁿⁿᶠˢ. **v.21** ἵναᶜ ὥσπερᵇᵒ βασιλεύωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᶠˢ ἁμαρτίαⁿⁿᶠˢ ἐνᵖ ὁᵈᵈᵐˢ θάνατοsⁿᵈᵐˢ οὕτωᵇᵒ καίᶜ ὁᵈⁿᶠˢ χάρισⁿⁿᶠˢ βασιλεύωᵛˢᵃᵃ³ˢ διάᵖ δικαιοσύνηⁿᵍᶠˢ εἰsᵖ ζωήⁿᵃᶠˢ αἰώνιοsᵃᵃᶠˢⁿ διάᵖ Ἰησοῦsⁿᵍᵐˢ Χριστόsⁿᵍᵐˢ ὁᵈᵍᵐˢ κύριοsⁿᵍᵐˢ ἐγώʳᵖᵍ⁻ᵖ. **6. v.1** τίsʳᵠⁿˢ οὖνᶜ λέγωᵛⁱᶠᵃ¹ᵖ ἐπιμένωᵛⁱᵖᵃ¹ᵖ ὁᵈᵈᶠˢ ἁμαρτίαⁿᵈᶠˢ ἵναᶜ ὁᵈⁿᶠˢ χάρισⁿⁿᶠˢ πλεονάζωᵛˢᵃᵃ³ˢ. **v.2** μήˣᵒ γίνομαιᵛᵒᵃᵈ³ˢ ὅστιsʳʳⁿᵐᵖ ἀποθνῄσκωᵛⁱᵃᵃ¹ᵖ ὁᵈᵈᶠˢ ἁμαρτίαⁿᵈᶠˢ πῶsᵇᵒ ἔτιᵇᵒ ζάωᵛⁱᶠᵃ¹ᵖ ἐνᵖ αὐτόsʳᵖᵈᶠˢ. **v.3** ἢˣᵒ ἀγνοέωᵛⁱᵖᵃ²ᵖ ὅτιᶜ ὅσοsʳᶜⁿᵐᵖ βαπτίζωᵛⁱᵃᵖ¹ᵖ εἰsᵖ Χριστόsⁿᵃᵐˢ Ἰησοῦsⁿᵃᵐˢ εἰsᵖ ὁᵈᵃᵐˢ θάνατοsⁿᵃᵐˢ αὐτόsʳᵖᵍᵐˢ βαπτίζωᵛⁱᵃᵖ¹ᵖ.

τον ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ
πατρός οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.
5 εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐ-
6 τοῦ ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες
ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη ἵνα καταρ-
γηθῇ τὸ σῶμα τῆς ἁμαρτίας τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ
7 ἁμαρτίᾳ, ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.
8 εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ πιστεύομεν ὅτι καὶ συζήσομεν
9 αὐτῷ. εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀπο-
10 θνῄσκει θάνατος αὐτοῦ οὐκέτι κυριεύει. ὃ γὰρ ἀπέθανεν
11 τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ ζῇ τῷ θεῷ. οὕτως
καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ
12 ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Μὴ
οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ
13 ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. μηδὲ παριστά-
νετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ ἀλλὰ παρα-
στήσατε ἑαυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη
14 ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ. ἁμαρτία γὰρ ὑμῶν οὐ
15 κυριεύσει, οὐ γάρ ἐστε ὑπὸ νόμον ἀλλ᾽ ὑπὸ χάριν. Τί οὖν
ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον ἀλλ᾽ ὑπὸ χάριν μὴ

---

v.4 συνθάπτω^{viap1p} οὖν^{c} αὐτός^{rpdms} διά^{p} ὁ^{dgns} βάπτισμα^{ngns} εἰς^{p} ὁ^{dams} θάνατος^{nams} ἵνα^{c} ὥσπερ^{bo} ἐγείρω^{viap3s} Χριστός^{nnms} ἐκ^{p} νεκρός^{agmpn} διά^{p} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgms} πατήρ^{ngms} οὕτω^{bo} καί^{c} ἐγώ$^{rpn-p}$ ἐν^{p} καινότης^{ndfs} ζωή^{ngfs} περιπατέω^{vsaa1p}. **v.5** εἰ^{qo} γάρ^{c} σύμφυτος^{anmpn} γίνομαι^{vixa1p} ὁ^{ddns} ὁμοίωμα^{ndns} ὁ^{dgms} θάνατος^{ngms} αὐτός^{rpgms} ἀλλά^{c} καί^{c} ὁ^{dgfs} ἀνάστασις^{ngfs} εἰμί^{vifx1p}. **v.6** οὗτος^{rdans} γινώσκω^{vppanmp} ὅτι^{c} ὁ^{dnms} παλαιός^{anmsn} ἐγώ$^{rpg-p}$ ἄνθρωπος^{nnms} συσταυρόω^{viap3s} ἵνα^{c} καταργέω^{vsap3s} ὁ^{dnns} σῶμα^{nnns} ὁ^{dgfs} ἁμαρτία^{ngfs} ὁ^{dgms} μηκέτι^{bo} δουλεύω^{vnpa} ἐγώ$^{rpa-p}$ ὁ^{ddfs} ἁμαρτία^{ndfs}. **v.7** ὁ^{dnms} γάρ^{c} ἀποθνῄσκω^{vpaanms} δικαιόω^{vixp3s} ἀπό^{p} ὁ^{dgfs} ἁμαρτία^{ngfs}. **v.8** εἰ^{qo} δέ^{c} ἀποθνῄσκω^{viaa1p} σύν^{p} Χριστός^{ndms} πιστεύω^{vipa1p} ὅτι^{c} καί^{c} συζάω^{vifa1p} αὐτός^{rpdms}. **v.9** οἶδα^{vpxanmp} ὅτι^{c} Χριστός^{nnms} ἐγείρω^{vpapnms} ἐκ^{p} νεκρός^{agmpn} οὐκέτι^{bo} ἀποθνῄσκω^{vipa3s} θάνατος^{nnms} αὐτός^{rpgms} οὐκέτι^{bo} κυριεύω^{vipa3s}. **v.10** ὅς^{rrans} γάρ^{c} ἀποθνῄσκω^{viaa3s} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ἀποθνῄσκω^{viaa3s} ἐφάπαξ^{bo} ὅς^{rrans} δέ^{c} ζάω^{vipa3s} ζάω^{vipa3s} ὁ^{ddms} θεός^{ndms}. **v.11** οὕτω^{bo} καί^{c} σύ$^{rpn-p}$ λογίζομαι^{vdpn2p} ἑαυτοῦ^{rxamp} νεκρός^{aampn} μέν^{xo} εἰμί^{vnpx} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ζάω^{vppaamp} δέ^{c} ὁ^{ddms} θεός^{ndms} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ὁ^{ddms} κύριος^{ndms} ἐγώ$^{rpg-p}$. **v.12** μή^{xo} οὖν^{c} βασιλεύω^{vdpa3s} ὁ^{dnfs} ἁμαρτία^{nnfs} ἐν^{p} ὁ^{ddns} θνητός^{adnsn} σύ$^{rpg-p}$ σῶμα^{ndns} εἰς^{p} ὁ^{dans} ὑπακούω^{vnpa} αὐτός^{rpdfs} ἐν^{p} ὁ^{ddfp} ἐπιθυμία^{ndfp} αὐτός^{rpgns}. **v.13** μηδέ^{c} παρίστημι^{vdpa2p} ὁ^{danp} μέλος^{nanp} σύ$^{rpg-p}$ ὅπλον^{nanp} ἀδικία^{ngfs} ὁ^{ddfs} ἁμαρτία^{ndfs} ἀλλά^{c} παρίστημι^{vdaa2p} ἑαυτοῦ^{rxamp} ὁ^{ddms} θεός^{ndms} ὡς^{bo} ἐκ^{p} νεκρός^{agmpn} ζάω^{vppaamp} καί^{c} ὁ^{danp} μέλος^{nanp} σύ$^{rpg-p}$ ὅπλον^{nanp} δικαιοσύνη^{ngfs} ὁ^{ddms} θεός^{ndms}. **v.14** ἁμαρτία^{nnfs} γάρ^{c} σύ$^{rpg-p}$ οὐ^{xo} κυριεύω^{vifa3s} οὐ^{xo} γάρ^{c} εἰμί^{vipx2p} ὑπό^{p} νόμος^{nams} ἀλλά^{c} ὑπό^{p} χάρις^{nafs}.

γένοιτο. οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους 16
εἰς ὑπακοήν δοῦλοί ἐστε ᾧ ὑπακούετε ἤτοι ἁμαρτίας εἰς
θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην. χάρις δὲ τῷ θεῷ ὅτι 17
ἦτε δοῦλοι τῆς ἁμαρτίας ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν
παρεδόθητε τύπον διδαχῆς. ἐλευθερωθέντες δὲ ἀπὸ τῆς 18
ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ. ἀνθρώπινον λέγω 19
διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν ὥσπερ γὰρ παρεστή-
σατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς
τὴν ἀνομίαν οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα
τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁ- 20
μαρτίας ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. τίνα οὖν καρπὸν 21
εἴχετε τότε ἐφ οἷς νῦν ἐπαισχύνεσθε τὸ γὰρ τέλος ἐκείνων
θάνατος. νυνὶ δέ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας δου- 22
λωθέντες δὲ τῷ θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν τὸ
δὲ τέλος ζωὴν αἰώνιον. τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνα- 23
τος τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ
τῷ κυρίῳ ἡμῶν.

7 Ἢ ἀγνοεῖτε ἀδελφοί γινώσκουσιν γὰρ νόμον λαλῶ ὅτι ὁ
νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ ὅσον χρόνον ζῇ. 2
ἡ γὰρ
ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ, ἐὰν δὲ ἀπο-

---

ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου περισσοτέρως
15 ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ὅτε δὲ
εὐδόκησεν ὁ θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου
16 καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ. ἀποκαλύψαι τὸν υἱ-
ὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν
17 εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. οὐδὲ ἀνῆλ-
θον εἰς Ἰεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀλλὰ
ἀπῆλθον εἰς Ἀραβίαν καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.
18 Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἰεροσόλυμα ἱστορῆσαι
19 Πέτρον, καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. ἕτε-
ρον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν
20 τοῦ κυρίου. ἃ δὲ γράφω ὑμῖν ἰδοὺ ἐνώπιον τοῦ θεοῦ ὅτι
21 οὐ ψεύδομαι. ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας

---

v.10 ἄρτι^{bo} γάρ^{c} ἄνθρωπος^{namp} πείθω^{vipa1s} ἤ^{xo} ὁ^{dams} θεός^{nams} ἤ^{xo} ζητέω^{vipa1s} ἄνθρωπος^{ndmp} ἀρέσκω^{vnpa} εἰ^{qo} γάρ^{c} ἔτι^{bo} ἄνθρωπος^{ndmp} ἀρέσκω^{viia1s} Χριστός^{ngms} δοῦλος^{nnms} οὐ^{xo} ἄν^{xo} εἰμί^{viix1s}. **v.11** γνωρίζω^{vipa1s} δέ^{c} σύ$^{rpd-p}$ ἀδελφός^{nvmp} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dans} εὐαγγελίζω^{vpapans} ὑπό^{p} ἐγώ$^{rpg-s}$ ὅτι^{c} οὐ^{xo} εἰμί^{vipx3s} κατά^{p} ἄνθρωπος^{nams}. **v.12** οὐδέ^{bo} γάρ^{c} ἐγώ$^{rpn-s}$ παρά^{p} ἄνθρωπος^{ngms} παραλαμβάνω^{viaa1s} αὐτός^{rpans} οὔτε^{c} διδάσκω^{viap1s} ἀλλά^{c} διά^{p} ἀποκάλυψις^{ngfs} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.13** ἀκούω^{viaa2p} γάρ^{c} ὁ^{dafs} ἐμός^{rsafs} ἀναστροφή^{nafs} ποτέ^{xo} ἐν^{p} ὁ^{ddms} Ἰουδαϊσμός^{ndms} ὅτι^{c} κατά^{p} ὑπερβολή^{nafs} διώκω^{viia1s} ὁ^{dafs} ἐκκλησία^{nafs} ὁ^{dgms} θεός^{ngms} καί^{c} πορθέω^{viia1s} αὐτός^{rpafs}. **v.14** καί^{c} προκόπτω^{viia1s} ἐν^{p} ὁ^{ddms} Ἰουδαϊσμός^{ndms} ὑπέρ^{p} πολύς^{aampn} συνηλικιώτης^{namp} ἐν^{p} ὁ^{ddns} γένος^{ndns} ἐγώ$^{rpg-s}$ περισσοτέρως^{bo} ζηλωτής^{nnms} ὑπάρχω^{vppanms} ὁ^{dgmp} πατρικός^{agmpn} ἐγώ$^{rpg-s}$ παράδοσις^{ngfp}. **v.15** ὅτε^{bo} δέ^{c} εὐδοκέω^{viaa3s} ὁ^{dnms} θεός^{nnms} ὁ^{dnms} ἀφορίζω^{vpaanms} ἐγώ$^{rpa-s}$ ἐκ^{p} κοιλία^{ngfs} μήτηρ^{ngfs} ἐγώ$^{rpg-s}$ καί^{c} καλέω^{vpaanms} διά^{p} ὁ^{dgfs} χάρις^{ngfs} αὐτός^{rpgms}. **v.16** ἀποκαλύπτω^{vnaa} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgms} ἐν^{p} ἐγώ$^{rpd-s}$ ἵνα^{c} εὐαγγελίζω^{vspm1s} αὐτός^{rpams} ἐν^{p} ὁ^{ddnp} ἔθνος^{ndnp} εὐθέως^{bo} οὐ^{xo} προσανατίθημι^{viam1s} σάρξ^{ndfs} καί^{c} αἷμα^{ndns}. **v.17** οὐδέ^{bo} ἀνέρχομαι^{viaa1s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} πρός^{p} ὁ^{damp} πρό^{p} ἐγώ$^{rpg-s}$ ἀπόστολος^{namp} ἀλλά^{c} ἀπέρχομαι^{viaa1s} εἰς^{p} Ἀραβία^{nafs} καί^{c} πάλιν^{bo} ὑποστρέφω^{viaa1s} εἰς^{p} Δαμασκός^{nafs}. **v.18** ἔπειτα^{bo} μετά^{p} ἔτος^{nanp} τρεῖς^{nanp} ἀνέρχομαι^{viaa1s} εἰς^{p} Ἱεροσόλυμα^{nafs} ἱστορέω^{vnaa} Πέτρος^{nams} καί^{c} ἐπιμένω^{viaa1s} πρός^{p} αὐτός^{rpams} ἡμέρα^{nafp} δεκαπέντε^{tn}. **v.19** ἕτερος^{aamsn} δέ^{c} ὁ^{dgmp} ἀπόστολος^{ngmp} οὐ^{xo} ὁράω^{viaa1s} εἰ^{qo} μή^{xo} Ἰάκωβος^{nams} ὁ^{dams} ἀδελφός^{nams} ὁ^{dgms} κύριος^{ngms}. **v.20** ὅς^{rranp} δέ^{c} γράφω^{vipa1s} σύ$^{rpd-p}$ ἰδού^{vdaa2s} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} ὅτι^{c} οὐ^{xo} ψεύδομαι^{vipn1s}.

καὶ τῆς Κιλικίας, ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς 22
ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Χριστῷ. μόνον δὲ ἀκού- 23
οντες ἦσαν ὅτι Ὁ διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν
πίστιν ἣν ποτε ἐπόρθει. καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν. 24

2 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἰερο- **2**
σόλυμα μετὰ Βαρναβᾶ συμπαραλαβὼν καὶ Τίτον, ἀνέβην 2
δὲ κατὰ ἀποκάλυψιν, καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ
κηρύσσω ἐν τοῖς ἔθνεσιν κατ ἰδίαν δὲ τοῖς δοκοῦσιν μήπως
εἰς κενὸν τρέχω ἢ ἔδραμον. ἀλλ οὐδὲ Τίτος ὁ σὺν ἐμοί 3
Ἕλλην ὢν ἠναγκάσθη περιτμηθῆναι, διὰ δὲ τοὺς παρεισ- 4
άκτους ψευδαδέλφους οἵτινες παρεισῆλθον κατασκοπῆσαι
τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ ἵνα ἡμᾶς
καταδουλώσωνται. οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑπο- 5
ταγῇ ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.
ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί ποτε ἦσαν οὐδέν μοι 6
διαφέρει, πρόσωπον θεὸς ἀνθρώπου οὐ λαμβάνει ἐμοὶ γὰρ
οἱ δοκοῦντες οὐδὲν προσανέθεντο. ἀλλὰ τοὐναντίον ἰδόν- 7
τες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς
Πέτρος τῆς περιτομῆς. ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀ- 8
ποστολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ εἰς τὰ ἔθνη.

---

v.21 ἔπειτα^{bo} ἔρχομαι^{viaa1s} εἰς^{p} ὁ^{danp} κλίμα^{nanp} ὁ^{dgfs} Συρία^{ngfs} καί^{c} ὁ^{dgfs} Κιλικία^{ngfs}. **v.22** εἰμί^{viix1s} δέ^{c} ἀγνοέω^{vpppnms} ὁ^{ddns} πρόσωπον^{ndns} ὁ^{ddfp} ἐκκλησία^{ndfp} ὁ^{dgfs} Ἰουδαία^{ngfs} ὁ^{ddfp} ἐν^{p} Χριστός^{ndms}. **v.23** μόνος^{bo} δέ^{c} ἀκούω^{vppanmp} εἰμί^{viix3p} ὅτι^{c} ὁ^{dnms} διώκω^{vppanms} ἐγώ$^{rpa-p}$ ποτέ^{xo} νῦν^{bo} εὐαγγελίζω^{vipm3s} ὁ^{dafs} πίστις^{nafs} ὅς^{rrafs} ποτέ^{xo} πορθέω^{viia3s}. **v.24** καί^{c} δοξάζω^{viia3p} ἐν^{p} ἐγώ$^{rpd-s}$ ὁ^{dams} θεός^{nams}. **2. v.1** ἔπειτα^{bo} διά^{p} δεκατέσσαρες^{ngnp} ἔτος^{ngnp} πάλιν^{bo} ἀναβαίνω^{viaa1s} εἰς^{p} Ἰεροσόλυμα^{nafs} μετά^{p} Βαρναβᾶς^{ngms} συμπαραλαμβάνω^{vpaanms} καί^{c} Τίτος^{nams}. **v.2** ἀναβαίνω^{viaa1s} δέ^{c} κατά^{p} ἀποκάλυψις^{nafs} καί^{c} ἀνατίθημι^{viam1s} αὐτός^{rpdmp} ὁ^{dans} εὐαγγέλιον^{nans} ὅς^{rrans} κηρύσσω^{vipa1s} ἐν^{p} ὁ^{ddnp} ἔθνος^{ndnp} κατά^{p} ἴδιος^{aafsn} δέ^{c} ὁ^{ddmp} δοκέω^{vppadmp} μή&πώς^{c} εἰς^{p} κενός^{aamsn} τρέχω^{vspa1s} ἤ^{xo} τρέχω^{viaa1s}. **v.3** ἀλλά^{c} οὐδέ^{bo} Τίτος^{nnms} ὁ^{dnms} σύν^{p} ἐγώ$^{rpd-s}$ Ἕλλην^{nnms} εἰμί^{vppxnms} ἀναγκάζω^{viap3s} περιτέμνω^{vnap}. **v.4** διά^{p} δέ^{c} ὁ^{damp} παρείσακτος^{aampn} ψευδάδελφος^{namp} ὅστις^{rrnmp} παρεισέρχομαι^{viaa3p} κατασκοπέω^{vnaa} ὁ^{dafs} ἐλευθερία^{nafs} ἐγώ$^{rpg-p}$ ὅς^{rrafs} ἔχω^{vipa1p} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἵνα^{c} ἐγώ$^{rpa-p}$ καταδουλόω^{vsam3p}. **v.5** ὅς^{rrdmp} οὐδέ^{bo} πρός^{p} ὥρα^{nafs} εἴκω^{viaa1p} ὁ^{ddfs} ὑποταγή^{ndfs} ἵνα^{c} ὁ^{dnfs} ἀλήθεια^{nnfs} ὁ^{dgns} εὐαγγέλιον^{ngns} διαμένω^{vsaa3s} πρός^{p} σύ$^{rpa-p}$. **v.6** ἀπό^{p} δέ^{c} ὁ^{dgmp} δοκέω^{vppagmp} εἰμί^{vnpx} τι-σριννσ ὁποῖος^{anmpn} ποτέ^{xo} εἰμί^{viix3p} οὐδείς^{annsn} ἐγώ$^{rpd-s}$ διαφέρω^{vipa3s} πρόσωπον^{nans} θεός^{nnms} ἄνθρωπος^{ngms} οὐ^{xo} λαμβάνω^{vipa3s} ἐγώ$^{rpd-s}$ γάρ^{c} ὁ^{dnmp} δοκέω^{vppanmp} οὐδείς^{aansn} προσανατίθημι^{viam3p}. **v.7** ἀλλά^{c} ἐναντίον^{bo} ὁράω^{vpaanmp} ὅτι^{c} πιστεύω^{vixp1s} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgfs} ἀκροβυστία^{ngfs} καθώς^{bo} Πέτρος^{nnms} ὁ^{dgfs} περιτομή^{ngfs}. **v.8** ὁ^{dnms} γάρ^{c} ἐνεργέω^{vpaanms} Πέτρος^{ndms} εἰς^{p} ἀποστολή^{nafs} ὁ^{dgfs} περιτομή^{ngfs} ἐνεργέω^{viaa3s} καί^{c} ἐγώ$^{rpd-s}$ εἰς^{p} ὁ^{danp} ἔθνος^{nanp}.

9 καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι Ἰάκωβος καὶ Κη-
φᾶς καὶ Ἰωάννης οἱ δοκοῦντες στῦλοι εἶναι δεξιὰς ἔδωκαν
ἐμοὶ καὶ Βαρναβᾷ κοινωνίας ἵνα ἡμεῖς [μέν] εἰς τὰ ἔθνη
10 αὐτοὶ δὲ εἰς τὴν περιτομήν, μόνον τῶν πτωχῶν ἵνα μνη-
11 μονεύωμεν ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. Ὅτε
δὲ ἦλθεν Πέτρος εἰς Ἀντιόχειαν κατὰ πρόσωπον αὐτῷ ἀντέ-
12 στην ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ
Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον ὑπέστελ-
λεν καὶ ἀφώριζεν ἑαυτόν φοβούμενος τοὺς ἐκ περιτομῆς.
13 καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι ὥστε καὶ
14 Βαρναβᾶς συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. ἀλλ ὅτε εἶδον
ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου
εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων Εἰ σὺ Ἰουδαῖος ὑπάρ-
χων ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς τί τὰ ἔθνη ἀναγκάζεις
15 Ἰουδαΐζειν. Ἡμεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρ-
16 τωλοί, εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου
ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ καὶ ἡμεῖς εἰς Χριστὸν
Ἰησοῦν ἐπιστεύσαμεν ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ
καὶ οὐκ ἐξ ἔργων νόμου διότι οὐ δικαιωθήσεται ἐξ ἔργων
17 νόμου πᾶσα σάρξ. εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χρι-
στῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί ἆρα Χριστὸς ἁμαρτίας

---

v.9 καί[c] γινώσκω[vpaanmp] ὁ[dafs] χάρις[nafs] ὁ[dafs] δίδωμι[vpapafs] ἐγώ[rpd-s] Ἰάκωβος[nnms] καί[c] Κηφᾶς[nnms] καί[c] Ἰωάννης[nnms] ὁ[dnmp] δοκέω[vppanmp] στῦλος[nnmp] εἰμί[vnpx] δεξιός[aafpn] δίδωμι[viaa3p] ἐγώ[rpd-s] καί[c] Βαρναβᾶς[ndms] κοινωνία[ngfs] ἵνα[c] ἐγώ[rpn-p] μέν[xo] εἰς[p] ὁ[danp] ἔθνος[nanp] αὐτός[rpnmp] δέ[c] εἰς[p] ὁ[dafs] περιτομή[nafs]. **v.10** μόνος[bo] ὁ[dgmp] πτωχός[agmpn] ἵνα[c] μνημονεύω[vspa1p] ὅς[rrans] καί[c] σπουδάζω[viaa1s] αὐτός[rpans] οὗτος[rdans] ποιέω[vnaa]. **v.11** ὅτε[bo] δέ[c] ἔρχομαι[viaa3s] Πέτρος[nnms] εἰς[p] Ἀντιόχεια[nafs] κατά[p] πρόσωπον[nans] αὐτός[rpdms] ἀνθίστημι[viaa1s] ὅτι[c] καταγινώσκω[vpxpnms] εἰμί[viix3s]. **v.12** πρό[p] ὁ[dgms] γάρ[c] ἔρχομαι[vnaa] τι-σριαμπ ἀπό[p] Ἰάκωβος[ngms] μετά[p] ὁ[dgnp] ἔθνος[ngnp] συνεσθίω[viia3s] ὅτε[bo] δέ[c] ἔρχομαι[viaa3p] ὑποστέλλω[viia3s] καί[c] ἀφορίζω[viia3s] ἑαυτοῦ[rxams] φοβέομαι[vppnnms] ὁ[damp] ἐκ[p] περιτομή[ngfs]. **v.13** καί[c] συνυποκρίνομαι[viap3p] αὐτός[rpdms] καί[c] ὁ[dnmp] λοιπός[anmpn] Ἰουδαῖος[anmpn] ὥστε[c] καί[c] Βαρναβᾶς[nnms] συναπάγω[viap3s] αὐτός[rpgmp] ὁ[ddfs] ὑπόκρισις[ndfs]. **v.14** ἀλλά[c] ὅτε[bo] ὁράω[viaa1s] ὅτι[c] οὐ[xo] ὀρθοποδέω[vipa3p] πρός[p] ὁ[dafs] ἀλήθεια[nafs] ὁ[dgns] εὐαγγέλιον[ngns] λέγω[viaa1s] ὁ[ddms] Πέτρος[ndms] ἔμπροσθεν[p] πᾶς[agmpn] εἰ[qo] σύ[rpn-s] Ἰουδαῖος[anmsn] ὑπάρχω[vppanms] ἐθνικῶς[bo] ζάω[vipa2s] καί[c] οὐ[xo] Ἰουδαϊκῶς[bo] τίς[rqans] ὁ[danp] ἔθνος[nanp] ἀναγκάζω[vipa2s] Ἰουδαΐζω[vnpa]. **v.15** ἐγώ[rpn-p] φύσις[ndfs] Ἰουδαῖος[anmpn] καί[c] οὐ[xo] ἐκ[p] ἔθνος[ngnp] ἁμαρτωλός[anmpn]. **v.16** οἶδα[vpxanmp] ὅτι[c] οὐ[xo] δικαιόω[vipp3s] ἄνθρωπος[nnms] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] ἐάν[qo] μή[xo] διά[p] πίστις[ngfs] Ἰησοῦς[ngms] Χριστός[ngms] καί[c] ἐγώ[rpn-p] εἰς[p] Χριστός[nams] Ἰησοῦς[nams] πιστεύω[viaa1p] ἵνα[c] δικαιόω[vsap1p] ἐκ[p] πίστις[ngfs] Χριστός[ngms] καί[c] οὐ[xo] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] διότι[c] οὐ[xo] δικαιόω[vifp3s] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] πᾶς[anfsn] σάρξ[nnfs].

διάκονος μὴ γένοιτο. εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκο- 18
δομῶ παραβάτην ἐμαυτὸν συνίστημι. ἐγὼ γὰρ διὰ νόμου 19
νόμῳ ἀπέθανον ἵνα θεῷ ζήσω. Χριστῷ συνεσταύρωμαι ζῶ 20
δὲ οὐκέτι ἐγώ ζῇ δὲ ἐν ἐμοὶ Χριστός, ὃ δὲ νῦν ζῶ ἐν σαρκί
ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με καὶ
παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. οὐκ ἀθετῶ τὴν χάριν τοῦ 21
θεοῦ, εἰ γὰρ διὰ νόμου δικαιοσύνη ἄρα Χριστὸς δωρεὰν
ἀπέθανεν.

3 Ὦ ἀνόητοι Γαλάται τίς ὑμᾶς ἐβάσκανεν τῇ ἀληθείᾳ μὴ
πείθεσθαι, οἷς κατ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη
ἐν ὑμῖν ἐσταυρωμένος. τοῦτο μόνον θέλω μαθεῖν ἀφ ὑ- 2
μῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως.
οὕτως ἀνόητοί ἐστε ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτε- 3
λεῖσθε. τοσαῦτα ἐπάθετε εἰκῇ εἴγε καὶ εἰκῇ. ὁ οὖν ἐπι- 4, 5
χορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν ἐξ
ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως. καθὼς Ἀβραὰμ ἐπίστευ- 6
σεν τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, Γινώσκετε 7
ἄρα ὅτι οἱ ἐκ πίστεως οὗτοι εἰσιν υἱοί Ἀβραάμ. προϊδοῦσα 8
δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς προευ-
ηγγελίσατο τῷ Ἀβραὰμ ὅτι Ἐνευλογηθήσονται ἐν σοὶ πάντα

---

v.17 εἰ[qo] δέ[c] ζητέω[vppanmp] δικαιόω[vnap] ἐν[p] Χριστός[ndms] εὑρίσκω[viap1p] καί[c] αὐτός[rpnmp] ἁμαρτωλός[anmpn] ἄρα[xo] Χριστός[nnms] ἁμαρτία[ngfs] διάκονος[nnms] μή[xo] γίνομαι[voad3s]. **v.18** εἰ[qo] γάρ[c] ὅς[rranp] καταλύω[viaa1s] οὗτος[rdanp] πάλιν[bo] οἰκοδομέω[vipa1s] παραβάτης[nams] ἐμαυτοῦ[rxams] συνίστημι[vipa1s]. **v.19** ἐγώ[rpn-s] γάρ[c] διά[p] νόμος[ngms] νόμος[ndms] ἀποθνῄσκω[viaa1s] ἵνα[c] θεός[ndms] ζάω[vsaa1s]. **v.20** Χριστός[ndms] συσταυρόω[vixp1s] ζάω[vipa1s] δέ[c] οὐκέτι[bo] ἐγώ[rpn-s] ζάω[vipa3s] δέ[c] ἐν[p] ἐγώ[rpd-s] Χριστός[nnms] ὅς[rrans] δέ[c] νῦν[bo] ζάω[vipa1s] ἐν[p] σάρξ[ndfs] ἐν[p] πίστις[ndfs] ζάω[vipa1s] ὁ[ddfs] ὁ[dgms] υἱός[ngms] ὁ[dgms] θεός[ngms] ὁ[dgms] ἀγαπάω[vpaagms] ἐγώ[rpa-s] καί[c] παραδίδωμι[vpaagms] ἑαυτοῦ[rxams] ὑπέρ[p] ἐγώ[rpg-s]. **v.21** οὐ[xo] ἀθετέω[vipa1s] ὁ[dafs] χάρις[nafs] ὁ[dgms] θεός[ngms] εἰ[qo] γάρ[c] διά[p] νόμος[ngms] δικαιοσύνη[nnfs] ἄρα[xo] Χριστός[nnms] δωρεάν[bo] ἀποθνῄσκω[viaa3s]. **3. v.1** ὦ[i] ἀνόητος[avmpn] Γαλάτης[nvmp] τίς[rqnms] σύ[rpa-p] βασκαίνω[viaa3s] ὁ[ddfs] ἀλήθεια[ndfs] μή[xo] πείθω[vnpp] ὅς[rrdmp] κατά[p] ὀφθαλμός[namp] Ἰησοῦς[nnms] Χριστός[nnms] προγράφω[viap3s] ἐν[p] σύ[rpd-p] σταυρόω[vpxpnms]. **v.2** οὗτος[rdans] μόνος[bo] θέλω[vipa1s] μανθάνω[vnaa] ἀπό[p] σύ[rpg-p] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] ὁ[dans] πνεῦμα[nans] λαμβάνω[viaa2p] ἤ[xo] ἐκ[p] ἀκοή[ngfs] πίστις[ngfs]. **v.3** οὕτω[bo] ἀνόητος[anmpn] εἰμί[vipx2p] ἐνάρχομαι[vpadnmp] πνεῦμα[ndns] νῦν[bo] σάρξ[ndfs] ἐπιτελέω[vipe2p]. **v.4** τοσοῦτος[rdanp] πάσχω[viaa2p] εἰκῇ[bo] εἴ&γε[qo] καί[c] εἰκῇ[bo]. **v.5** ὁ[dnms] οὖν[c] ἐπιχορηγέω[vppanms] σύ[rpd-p] ὁ[dans] πνεῦμα[nans] καί[c] ἐνεργέω[vppanms] δύναμις[nafp] ἐν[p] σύ[rpd-p] ἐκ[p] ἔργον[ngnp] νόμος[ngms] ἤ[xo] ἐκ[p] ἀκοή[ngfs] πίστις[ngfs]. **v.6** καθώς[bo] Ἀβραάμ[tp] πιστεύω[viaa3s] ὁ[ddms] θεός[ndms] καί[c] λογίζομαι[viap3s] αὐτός[rpdms] εἰς[p] δικαιοσύνη[nafs]. **v.7** γινώσκω[vdpa2p] ἄρα[xo] ὅτι[c] ὁ[dnmp] ἐκ[p] πίστις[ngfs] οὗτος[rdnmp] εἰμί[vipx3p] υἱός[nnmp] Ἀβραάμ[tp].

9 τὰ ἔθνη, ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀ-
10 βραάμ. ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν ὑπὸ κατάραν εἰσίν,
γέγραπται γὰρ Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσιν
τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐ-
11 τά. ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ δῆλον
12 ὅτι Ὁ δίκαιος ἐκ πίστεως ζήσεται, ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ
πίστεως ἀλλ Ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.
13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γε-
νόμενος ὑπὲρ ἡμῶν κατάρα γέγραπται γὰρ, Ἐπικατάρατος
14 πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία
τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ ἵνα τὴν ἐπαγγελίαν
15 τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως. Ἀδελφοί κατὰ
ἄνθρωπον λέγω, ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην
16 οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται. τῷ δὲ Ἀβραὰμ ἐρρήθη-
σαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ οὐ λέγει Καὶ τοῖς
σπέρμασιν ὡς ἐπὶ πολλῶν ἀλλ ὡς ἐφ ἑνός Καὶ τῷ σπέρματί
17 σου ὅς ἐστιν Χριστός. τοῦτο δὲ λέγω, διαθήκην προκεκυ-
ρωμένην ὑπὸ τοῦ θεοῦ εἰς Χριστὸν ὁ μετὰ ἔτη τετρακόσια
καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆ-

---

v.8 προοράω^{vpaanfs} δέ^{c} ὁ^{dnfs} γραφή^{nnfs} ὅτι^{c} ἐκ^{p} πίστις^{ngfs} δικαιόω^{vipa3s} ὁ^{danp} ἔθνος^{nanp} ὁ^{dnms} θεός^{nnms} προευαγγελίζομαι^{viad3s} ὁ^{ddms} Ἀβραάμ^{tp} ὅτι^{c} ἐνευλογέω^{vifp3p} ἐν^{p} σύ$^{rpd-s}$ πᾶς^{annpn} ὁ^{dnnp} ἔθνος^{nnnp}. **v.9** ὥστε^{c} ὁ^{dnmp} ἐκ^{p} πίστις^{ngfs} εὐλογέω^{vipp3p} σύν^{p} ὁ^{ddms} πιστός^{admsn} Ἀβραάμ^{tp}. **v.10** ὅσος^{rcnmp} γάρ^{c} ἐκ^{p} ἔργον^{ngnp} νόμος^{ngms} εἰμί^{vipx3p} ὑπό^{p} κατάρα^{nafs} εἰμί^{vipx3p} γράφω^{vixp3s} γάρ^{c} ἐπικατάρατος^{anmsn} πᾶς^{anmsn} ὅς^{rrnms} οὐ^{xo} ἐμμένω^{vipa3s} ἐν^{p} πᾶς^{adnpn} ὁ^{ddnp} γράφω^{vpxpdnp} ἐν^{p} ὁ^{ddns} βιβλίον^{ndns} ὁ^{dgms} νόμος^{ngms} ὁ^{dgms} ποιέω^{vnaa} αὐτός^{rpanp}. **v.11** ὅτι^{c} δέ^{c} ἐν^{p} νόμος^{ndms} οὐδείς^{anfsn} δικαιόω^{vipp3s} παρά^{p} ὁ^{ddms} θεός^{ndms} δῆλος^{annsn} ὅτι^{c} ὁ^{dnms} δίκαιος^{anmsn} ἐκ^{p} πίστις^{ngfs} ζάω^{vifd3s}. **v.12** ὁ^{dnms} δέ^{c} νόμος^{nnms} οὐ^{xo} εἰμί^{vipx3s} ἐκ^{p} πίστις^{ngfs} ἀλλά^{c} ὁ^{dnms} ποιέω^{vpaanms} αὐτός^{rpanp} ἄνθρωπος^{nnms} ζάω^{vifd3s} ἐν^{p} αὐτός^{rpdnp}. **v.13** Χριστός^{nnms} ἐγώ$^{rpa-p}$ ἐξαγοράζω^{viaa3s} ἐκ^{p} ὁ^{dgfs} κατάρα^{ngfs} ὁ^{dgms} νόμος^{ngms} γίνομαι^{vpadnms} ὑπέρ^{p} ἐγώ$^{rpg-p}$ κατάρα^{nnfs} γράφω^{vixp3s} γάρ^{c} ἐπικατάρατος^{anmsn} πᾶς^{anmsn} ὁ^{dnms} κρεμάννυμι^{vppmnms} ἐπί^{p} ξύλον^{ngns}. **v.14** ἵνα^{c} εἰς^{p} ὁ^{danp} ἔθνος^{nanp} ὁ^{dnfs} εὐλογία^{nnfs} ὁ^{dgms} Ἀβραάμ^{tp} γίνομαι^{vsad3s} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} ἵνα^{c} ὁ^{dafs} ἐπαγγελία^{nafs} ὁ^{dgns} πνεῦμα^{ngns} λαμβάνω^{vsaa1p} διά^{p} ὁ^{dgfs} πίστις^{ngfs}. **v.15** ἀδελφός^{nvmp} κατά^{p} ἄνθρωπος^{nams} λέγω^{vipa1s} ὅμως^{c} ἄνθρωπος^{ngms} κυρόω^{vpxpafs} διαθήκη^{nafs} οὐδείς^{anfsn} ἀθετέω^{vipa3s} ἤ^{xo} ἐπιδιατάσσομαι^{vipn3s}. **v.16** ὁ^{ddms} δέ^{c} Ἀβραάμ^{tp} ῥέω^{viap3p} ὁ^{dnfp} ἐπαγγελία^{nnfp} καί^{c} ὁ^{ddns} σπέρμα^{ndns} αὐτός^{rpgms} οὐ^{xo} λέγω^{vipa3s} καί^{c} ὁ^{ddnp} σπέρμα^{ndnp} ὡς^{bo} ἐπί^{p} πολύς^{agnpn} ἀλλά^{c} ὡς^{bo} ἐπί^{p} εἷς^{ngns} καί^{c} ὁ^{ddns} σπέρμα^{ndns} σύ$^{rpg-s}$ ὅς^{rrnms} εἰμί^{vipx3s} Χριστός^{nnms}.

σαι τὴν ἐπαγγελίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία οὐκέτι 18
ἐξ ἐπαγγελίας, τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται ὁ
θεός. Τί οὖν ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη 19
ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται διαταγεὶς δι᾽ ἀγγέ-
λων ἐν χειρὶ μεσίτου. ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν ὁ δὲ 20
θεὸς εἷς ἐστιν. Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θε- 21
οῦ μὴ γένοιτο εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζῳοποιῆσαι
ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη, ἀλλὰ συνέκλεισεν ἡ 22
γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως
Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. Πρὸ τοῦ δὲ ἐλ- 23
θεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι
εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε ὁ νόμος 24
παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν ἵνα ἐκ πίστεως δι-
καιωθῶμεν, ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδα- 25
γωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ τῆς πίστεως 26
ἐν Χριστῷ Ἰησοῦ, ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε Χρι- 27
στὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην οὐκ ἔνι 28
δοῦλος οὐδὲ ἐλεύθερος οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ
ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. εἰ δὲ ὑμεῖς Χριστοῦ ἄρα 29

---

v.17 οὗτος^{rdans} δέ^{c} λέγω^{vipa1s} διαθήκη^{nafs} προκυρόω^{vpxpafs} ὑπό^{p} ὁ^{dgms} θεός^{ngms} εἰς^{p} Χριστός^{nams} ὁ^{dnms} μετά^{p} ἔτος^{nanp} τετρακόσιοι^{nanp} καί^{c} τριάκοντα^{tn} γίνομαι^{vpxanms} νόμος^{nnms} οὐ^{xo} ἀκυρόω^{vipa3s} εἰς^{p} ὁ^{dans} καταργέω^{vnaa} ὁ^{dafs} ἐπαγγελία^{nafs}. **v.18** εἰ^{qo} γάρ^{c} ἐκ^{p} νόμος^{ngms} ὁ^{dnfs} κληρονομία^{nnfs} οὐκέτι^{bo} ἐκ^{p} ἐπαγγελία^{ngfs} ὁ^{ddms} δέ^{c} Ἀβραάμ^{tp} διά^{p} ἐπαγγελία^{ngfs} χαρίζομαι^{vixn3s} ὁ^{dnms} θεός^{nnms}. **v.19** τίς^{rqnns} οὖν^{c} ὁ^{dnms} νόμος^{nnms} ὁ^{dgfp} παράβασις^{ngfp} χάριν^{bo} προστίθημι^{viap3s} ἄχρι^{p} ὅς^{bo} ἔρχομαι^{vsaa3s} ὁ^{dnns} σπέρμα^{nnns} ὅς^{rrdms} ἐπαγγέλλομαι^{vixn3s} διατάσσω^{vpapnms} διά^{p} ἄγγελος^{ngmp} ἐν^{p} χείρ^{ndfs} μεσίτης^{ngms}. **v.20** ὁ^{dnms} δέ^{c} μεσίτης^{nnms} εἷς^{ngms} οὐ^{xo} εἰμί^{vipx3s} ὁ^{dnms} δέ^{c} θεός^{nnms} εἷς^{nnms} εἰμί^{vipx3s}. **v.21** ὁ^{dnms} οὖν^{c} νόμος^{nnms} κατά^{p} ὁ^{dgfp} ἐπαγγελία^{ngfp} ὁ^{dgms} θεός^{ngms} μή^{xo} γίνομαι^{voad3s} εἰ^{qo} γάρ^{c} δίδωμι^{viap3s} νόμος^{nnms} ὁ^{dnms} δύναμαι^{vppnnms} ζῳοποιέω^{vnaa} ὄντως^{bo} ἄν^{xo} ἐκ^{p} νόμος^{ngms} εἰμί^{viix3s} ὁ^{dnfs} δικαιοσύνη^{nnfs}. **v.22** ἀλλά^{c} συγκλείω^{viaa3s} ὁ^{dnfs} γραφή^{nnfs} ὁ^{danp} πᾶς^{aanpn} ὑπό^{p} ἁμαρτία^{nafs} ἵνα^{c} ὁ^{dnfs} ἐπαγγελία^{nnfs} ἐκ^{p} πίστις^{ngfs} Ἰησοῦς^{ngms} Χριστός^{ngms} δίδωμι^{vsap3s} ὁ^{ddmp} πιστεύω^{vppadmp}. **v.23** πρό^{p} ὁ^{dgms} δέ^{c} ἔρχομαι^{vnaa} ὁ^{dafs} πίστις^{nafs} ὑπό^{p} νόμος^{nams} φρουρέω^{viip1p} συγκλείω^{vpxpnmp} εἰς^{p} ὁ^{dafs} μέλλω^{vppaafs} πίστις^{nafs} ἀποκαλύπτω^{vnap}. **v.24** ὥστε^{c} ὁ^{dnms} νόμος^{nnms} παιδαγωγός^{nnms} ἐγώ$^{rpg-p}$ γίνομαι^{vixa3s} εἰς^{p} Χριστός^{nams} ἵνα^{c} ἐκ^{p} πίστις^{ngfs} δικαιόω^{vsap1p}. **v.25** ἔρχομαι^{vpaagfs} δέ^{c} ὁ^{dgfs} πίστις^{ngfs} οὐκέτι^{bo} ὑπό^{p} παιδαγωγός^{nams} εἰμί^{vipx1p}. **v.26** πᾶς^{anmpn} γάρ^{c} υἱός^{nnmp} θεός^{ngms} εἰμί^{vipx2p} διά^{p} ὁ^{dgfs} πίστις^{ngfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.27** ὅσος^{rcnmp} γάρ^{c} εἰς^{p} Χριστός^{nams} βαπτίζω^{viap2p} Χριστός^{nams} ἐνδύω^{viam2p}. **v.28** οὐ^{xo} ἔνι^{vipx3s} Ἰουδαῖος^{anmsn} οὐδέ^{bo} Ἕλλην^{nnms} οὐ^{xo} ἔνι^{vipx3s} δοῦλος^{nnms} οὐδέ^{bo} ἐλεύθερος^{anmsn} οὐ^{xo} ἔνι^{vipx3s} ἄρσην^{nnns} καί^{c} θῆλυς^{annsn} πᾶς^{anmpn} γάρ^{c} σύ$^{rpn-p}$ εἷς^{nnms} εἰμί^{vipx2p} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}.

τοῦ Ἀβραὰμ σπέρμα ἐστέ καὶ κατ ἐπαγγελίαν κληρονόμοι.

4 Λέγω δέ ἐφ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν οὐ-
2 δὲν διαφέρει δούλου κύριος πάντων ὤν. ἀλλὰ ὑπὸ ἐπι-
τρόπους ἐστὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ
3 πατρός. οὕτως καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι ὑπὸ τὰ στοιχεῖα
4 τοῦ κόσμου ἦμεν δεδουλωμένοι, ὅτε δὲ ἦλθεν τὸ πλήρωμα
τοῦ χρόνου ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον
5 ἐκ γυναικός γενόμενον ὑπὸ νόμον. ἵνα τοὺς ὑπὸ νόμον
6 ἐξαγοράσῃ ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε
υἱοί ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς
7 καρδίας ὑμῶν, κρᾶζον Αββα ὁ πατήρ. ὥστε οὐκέτι εἶ δοῦ-
λος ἀλλ υἱός, εἰ δὲ υἱός καὶ κληρονόμος θεοῦ διὰ Χριστοῦ.
8 Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς μὴ φύσει
9 οὖσιν θεοῖς, νῦν δὲ γνόντες θεόν μᾶλλον δὲ γνωσθέντες
ὑπὸ θεοῦ πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτω-
10 χὰ στοιχεῖα οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε. ἡμέρας
11 παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. φο-
12 βοῦμαι ὑμᾶς μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Γίνεσθε
ὡς ἐγώ ὅτι κἀγὼ ὡς ὑμεῖς ἀδελφοί δέομαι ὑμῶν οὐδέν με
13 ἠδικήσατε, οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγ-

---

v.29 εἰqo δέc σύrpn-p Χριστόςngms ἄραxo ὁdgms Ἀβραάμtp σπέρμαnnns εἰμίvipx2p καίc κατάp ἐπαγγελίαnafs κληρονόμοςnnmp. **4. v.1** λέγωvipa1s δέc ἐπίp ὅσοςrcams χρόνοςnams ὁdnms κληρονόμοςnnms νήπιοςanmsn εἰμίvipx3s οὐδείςaansn διαφέρωvipa3s δοῦλοςngms κύριοςnnms πᾶςagmpn εἰμιvppxnms. **v.2** ἀλλάc ὑπόp ἐπίτροποςnamp εἰμίvipx3s καίc οἰκονόμοςnamp ἄχριp ὁdgfs προθεσμίαngfs ὁdgms πατήρngms. **v.3** οὕτωbo καίc ἐγώrpn-p ὅτεbo εἰμίviix1p νήπιοςanmpn ὑπόp ὁdanp στοιχεῖονnanp ὁdgms κόσμοςngms εἰμίviix1p δουλόωvpxpnmp. **v.4** ὅτεbo δέc ἔρχομαιviaa3s ὁdnns πλήρωμαnnns ὁdgms χρόνοςngms ἐξαποστέλλωviaa3s ὁdnms θεόςnnms ὁdams υἱόςnams αὐτόςrpgms γίνομαιvpadams ἐκp γυνήngfs γίνομαιvpadams ὑπόp νόμοςnams. **v.5** ἵναc ὁdamp ὑπόp νόμοςnams ἐξαγοράζωvsaa3s ἵναc ὁdafs υἱοθεσίαnafs ἀπολαμβάνωvsaa1p. **v.6** ὅτιc δέc εἰμίvipx2p υἱόςnnmp ἐξαποστέλλωviaa3s ὁdnms θεόςnnms ὁdans πνεῦμαnans ὁdgms υἱόςngms αὐτόςrpgms εἰςp ὁdafp καρδίαnafp σύrpg-p κράζωvppaans ἀββάtp ὁdnms πατήρnnms. **v.7** ὥστεc οὐκέτιbo εἰμίvipx2s δοῦλοςnnms ἀλλάc υἱόςnnms εἰqo δέc υἱόςnnms καίc κληρονόμοςnnms θεόςngms διάp Χριστόςngms. **v.8** ἀλλάc τότεbo μένxo οὐxo οἶδαvpxanmp θεόςnams δουλεύωviaa2p ὁddmp μήxo φύσιςndfs εἰμίvppxdmp θεόςndmp. **v.9** νῦνbo δέc γινώσκωvpaanmp θεόςnams μᾶλλονbo δέc γινώσκωvpapnmp ὑπόp θεόςngms πῶςbo ἐπιστρέφωvipa2p πάλινbo ἐπίp ὁdanp ἀσθενήςaanpn καίc πτωχόςaanpn στοιχεῖονnanp ὅςrrdnp πάλινbo ἄνωθενbo δουλεύωvnpa θέλωvipa2p. **v.10** ἡμέραnafp παρατηρέωvipm2p καίc μήνnamp καίc καιρόςnamp καίc ἐνιαυτόςnamp. **v.11** φοβέομαιvipn1s σύrpa-p μή&πώςc εἰκῇbo κοπιάωvixa1s εἰςp σύrpa-p. **v.12** γίνομαιvdpn2p ὡςbo ἐγώrpn-s ὅτιc κἀγώrpn-s ὡςbo σύrpn-p ἀδελφόςnvmp δέομαιvipn1s σύrpg-p οὐδείςaansn ἐγώrpa-s ἀδικέωviaa2p.

γελισάμην ὑμῖν τὸ πρότερον. καὶ τὸν πειρασμὸν μου τὸν 14
ἐν τῇ σαρκί μοῦ οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε ἀλ᾽λ
ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με ὡς Χριστὸν Ἰησοῦν. τίς οὖν 15
ἦν ὁ μακαρισμὸς ὑμῶν μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν
τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὥστε 16
ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν. ζηλοῦσιν ὑμᾶς οὐ 17
καλῶς ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν ἵνα αὐτοὺς ζηλοῦτε,
καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε καὶ μὴ μόνον ἐν 18
τῷ παρεῖναί με πρὸς ὑμᾶς. τεκνία μου οὓς πάλιν ὠδίνω 19
ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν, ἤθελον δὲ παρεῖναι 20
πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου ὅτι ἀποροῦμαι
ἐν ὑμῖν. Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον 21
οὐκ ἀκούετε. γέγραπται γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν 22
ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. ἀλλ ὁ μὲν 23
ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται ὁ δὲ ἐκ τῆς ἐλευ-
θέρας διὰ τῆς ἐπαγγελίας. ἅτινά ἐστιν ἀλληγορούμενα, 24
αὗται γάρ εἰσιν δύο διαθῆκαι μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς
δουλείαν γεννῶσα ἥτις ἐστὶν Ἁγάρ. τὸ γὰρ Ἁγὰρ Σινᾶ ὄρος 25
ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἰερουσαλήμ δου-
λεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω Ἰερουσαλὴμ 26

---

v.13 οἶδα^{vixa2p} δέ^{c} ὅτι^{c} διά^{p} ἀσθένεια^{nafs} ὁ^{dgfs} σάρξ^{ngfs} εὐαγγελίζω^{viam1s} σύ$^{rpd-p}$ ὁ^{dans} πρότερος^{aansn}. **v.14** καί^{c} ὁ^{dams} πειρασμός^{nams} ἐγώ$^{rpg-s}$ ὁ^{dams} ἐν^{p} ὁ^{ddfs} σάρξ^{ndfs} ἐγώ$^{rpg-s}$ οὐ^{xo} ἐξουθενέω^{viaa2p} οὐδέ^{bo} ἐκπτύω^{viaa2p} ἀλλά^{c} ὡς^{bo} ἄγγελος^{nams} θεός^{ngms} δέχομαι^{viad2p} ἐγώ$^{rpa-s}$ ὡς^{bo} Χριστός^{nams} Ἰησοῦς^{nams}. **v.15** τίς^{rqnms} οὖν^{c} εἰμί^{viix3s} ὁ^{dnms} μακαρισμός^{nnms} σύ$^{rpg-p}$ μαρτυρέω^{vipa1s} γάρ^{c} σύ$^{rpd-p}$ ὅτι^{c} εἰ^{qo} δυνατός^{annsn} ὁ^{damp} ὀφθαλμός^{namp} σύ$^{rpg-p}$ ἐξορύσσω^{vpaanmp} ἄν^{xo} δίδωμι^{viaa2p} ἐγώ$^{rpd-s}$. **v.16** ὥστε^{c} ἐχθρός^{anmsn} σύ$^{rpg-p}$ γίνομαι^{vixa1s} ἀληθεύω^{vppanms} σύ$^{rpd-p}$. **v.17** ζηλόω^{vipa3p} σύ$^{rpa-p}$ οὐ^{xo} καλῶς^{bo} ἀλλά^{c} ἐκκλείω^{vnaa} σύ$^{rpa-p}$ θέλω^{vipa3p} ἵνα^{c} αὐτός^{rpamp} ζηλόω^{vspa2p}. **v.18** καλός^{annsn} δέ^{c} ὁ^{dnns} ζηλόω^{vnpp} ἐν^{p} καλός^{adnsn} πάντοτε^{bo} καί^{c} μή^{xo} μόνος^{bo} ἐν^{p} ὁ^{ddms} πάρειμι^{vnpx} ἐγώ$^{rpa-s}$ πρός^{p} σύ$^{rpa-p}$. **v.19** τεκνίον^{nvnp} ἐγώ$^{rpg-s}$ ὅς^{rramp} πάλιν^{bo} ὠδίνω^{vipa1s} ἄχρι^{p} ὅς^{bo} μορφόω^{vsap3s} Χριστός^{nnms} ἐν^{p} σύ$^{rpd-p}$. **v.20** θέλω^{viia1s} δέ^{c} πάρειμι^{vnpx} πρός^{p} σύ$^{rpa-p}$ ἄρτι^{bo} καί^{c} ἀλλάσσω^{vnaa} ὁ^{dafs} φωνή^{nafs} ἐγώ$^{rpg-s}$ ὅτι^{c} ἀπορέω^{vipm1s} ἐν^{p} σύ$^{rpd-p}$. **v.21** λέγω^{vdpa2p} ἐγώ$^{rpd-s}$ ὁ^{dnmp} ὑπό^{p} νόμος^{nams} θέλω^{vppanmp} εἰμί^{vnpx} ὁ^{dams} νόμος^{nams} οὐ^{xo} ἀκούω^{vipa2p}. **v.22** γράφω^{vixp3s} γάρ^{c} ὅτι^{c} Ἀβραάμ^{tp} δύο^{tn} υἱός^{namp} ἔχω^{viaa3s} εἷς^{nams} ἐκ^{p} ὁ^{dgfs} παιδίσκη^{ngfs} καί^{c} εἷς^{nams} ἐκ^{p} ὁ^{dgfs} ἐλεύθερος^{agfsn}. **v.23** ἀλλά^{c} ὁ^{dnms} μέν^{xo} ἐκ^{p} ὁ^{dgfs} παιδίσκη^{ngfs} κατά^{p} σάρξ^{nafs} γεννάω^{vixp3s} ὁ^{dnms} δέ^{c} ἐκ^{p} ὁ^{dgfs} ἐλεύθερος^{agfsn} διά^{p} ὁ^{dgfs} ἐπαγγελία^{ngfs}. **v.24** ὅστις^{rrnnp} εἰμί^{vipx3s} ἀλληγορέω^{vpppnnp} οὗτος^{rdnfp} γάρ^{c} εἰμί^{vipx3p} δύο^{tn} διαθήκη^{nnfp} εἷς^{nnfs} μέν^{xo} ἀπό^{p} ὄρος^{ngns} Σινᾶ^{tp} εἰς^{p} δουλεία^{nafs} γεννάω^{vppanfs} ὅστις^{rrnfs} εἰμί^{vipx3s} Ἁγάρ^{tp}. **v.25** ὁ^{dnns} γάρ^{c} Ἁγάρ^{tp} Σινᾶ^{tp} ὄρος^{nnns} εἰμί^{vipx3s} ἐν^{p} ὁ^{ddfs} Ἀραβία^{ndfs} συστοιχέω^{vipa3s} δέ^{c} ὁ^{ddfs} νῦν^{bo} Ἰερουσαλήμ^{tp} δουλεύω^{vipa3s} δέ^{c} μετά^{p} ὁ^{dgnp} τέκνον^{ngnp} αὐτός^{rpgfs}.

27 ἐλευθέρα ἐστίν ἥτις ἐστὶν μήτηρ πάντων ἡμῶν, γέγραπται
γάρ Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα ῥῆξον καὶ βόησον
ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον
28 ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἡμεῖς δέ ἀδελφοί κατὰ Ἰσαὰκ
29 ἐπαγγελίας τέκνα ἐσμέν. ἀλλ ὥσπερ τότε ὁ κατὰ σάρκα
30 γεννηθεὶς ἐδίωκεν τὸν κατὰ πνεῦμα οὕτως καὶ νῦν. ἀλλὰ
τί λέγει ἡ γραφή Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐ-
τῆς, οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ
31 τοῦ υἱοῦ τῆς ἐλευθέρας. ἄρα, ἀδελφοί οὐκ ἐσμὲν παιδί-
σκης τέκνα ἀλλὰ τῆς ἐλευθέρας.

5 τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν, στήκετε
2 καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. Ἴδε ἐγὼ Παῦλος
λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφε-
3 λήσει. μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνο-
4 μένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατηρ-
γήθητε ἀπὸ τοῦ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε τῆς
5 χάριτος ἐξεπέσατε. ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα
6 δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε
περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία ἀλλὰ πίστις δι᾽ ἀγάπης
7 ἐνεργουμένη. Ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψεν τῇ ἀ-
8 ληθείᾳ μὴ πείθεσθαι. ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος

---

v.26 ὁ^{dnfs} δέ^{c} ἄνω^{bo} Ἰερουσαλήμ^{tp} ἐλεύθερος^{anfsn} εἰμί^{vipx3s} ὅστις^{rrnfs} εἰμί^{vipx3s} μήτηρ^{nnfs} πᾶς^{agmpn} ἐγώ$^{rpg-p}$. **v.27** γράφω^{vixp3s} γάρ^{c} εὐφραίνω^{vdap2s} στεῖρα^{nvfs} ὁ^{dnfs} οὐ^{xo} τίκτω^{vppanfs} ῥήγνυμι^{vdaa2s} καί^{c} βοάω^{vdaa2s} ὁ^{dnfs} οὐ^{xo} ὠδίνω^{vppanfs} ὅτι^{c} πολύς^{annpn} ὁ^{dnnp} τέκνον^{nnnp} ὁ^{dgfs} ἔρημος^{agfsn} μᾶλλον^{bo} ἤ^{xo} ὁ^{dgfs} ἔχω^{vppagfs} ὁ^{dams} ἀνήρ^{nams}. **v.28** ἐγώ$^{rpn-p}$ δέ^{c} ἀδελφός^{nvmp} κατά^{p} Ἰσαάκ^{tp} ἐπαγγελία^{ngfs} τέκνον^{nnnp} εἰμί^{vipx1p}. **v.29** ἀλλά^{c} ὥσπερ^{bo} τότε^{bo} ὁ^{dnms} κατά^{p} σάρξ^{nafs} γεννάω^{vpapnms} διώκω^{viia3s} ὁ^{dams} κατά^{p} πνεῦμα^{nans} οὕτω^{bo} καί^{c} νῦν^{bo}. **v.30** ἀλλά^{c} τίς^{rqans} λέγω^{vipa3s} ὁ^{dnfs} γραφή^{nnfs} ἐκβάλλω^{vdaa2s} ὁ^{dafs} παιδίσκη^{nafs} καί^{c} ὁ^{dams} υἱός^{nams} αὐτός^{rpgfs} οὐ^{xo} γάρ^{c} μή^{xo} κληρονομέω^{vsaa3s} ὁ^{dnms} υἱός^{nnms} ὁ^{dgfs} παιδίσκη^{ngfs} μετά^{p} ὁ^{dgms} υἱός^{ngms} ὁ^{dgfs} ἐλεύθερος^{agfsn}. **v.31** ἄρα^{xo} ἀδελφός^{nvmp} οὐ^{xo} εἰμί^{vipx1p} παιδίσκη^{ngfs} τέκνον^{nnnp} ἀλλά^{c} ὁ^{dgfs} ἐλεύθερος^{agfsn}. **5. v.1** ὁ^{ddfs} ἐλευθερία^{ndfs} οὖν^{c} ὅς^{rrdfs} Χριστός^{nnms} ἐγώ$^{rpa-p}$ ἐλευθερόω^{viaa3s} στήκω^{vdpa2p} καί^{c} μή^{xo} πάλιν^{bo} ζυγός^{ndms} δουλεία^{ngfs} ἐνέχω^{vdpp2p}. **v.2** ἴδε^{i} ἐγώ$^{rpn-s}$ Παῦλος^{nnms} λέγω^{vipa1s} σύ$^{rpd-p}$ ὅτι^{c} ἐάν^{qo} περιτέμνω^{vspp2p} Χριστός^{nnms} σύ$^{rpa-p}$ οὐδείς^{aansn} ὠφελέω^{vifa3s}. **v.3** μαρτύρομαι^{vipn1s} δέ^{c} πάλιν^{bo} πᾶς^{admsn} ἄνθρωπος^{ndms} περιτέμνω^{vpppdms} ὅτι^{c} ὀφειλέτης^{nnms} εἰμί^{vipx3s} ὅλος^{aamsn} ὁ^{dams} νόμος^{nams} ποιέω^{vnaa}. **v.4** καταργέω^{viap2p} ἀπό^{p} ὁ^{dgms} Χριστός^{ngms} ὅστις^{rrnmp} ἐν^{p} νόμος^{ndms} δικαιόω^{vipp2p} ὁ^{dgfs} χάρις^{ngfs} ἐκπίπτω^{viaa2p}. **v.5** ἐγώ$^{rpn-p}$ γάρ^{c} πνεῦμα^{ndns} ἐκ^{p} πίστις^{ngfs} ἐλπίς^{nafs} δικαιοσύνη^{ngfs} ἀπεκδέχομαι^{vipn1p}. **v.6** ἐν^{p} γάρ^{c} Χριστός^{ndms} Ἰησοῦς^{ndms} οὔτε^{c} περιτομή^{nnfs} τι-σριανσ ἰσχύω^{vipa3s} οὔτε^{c} ἀκροβυστία^{nnfs} ἀλλά^{c} πίστις^{nnfs} διά^{p} ἀγάπη^{ngfs} ἐνεργέω^{vppmnfs}. **v.7** τρέχω^{viia2p} καλῶς^{bo} τίς^{rqnms} σύ$^{rpa-p}$ ἐγκόπτω^{viaa3s} ὁ^{ddfs} ἀλήθεια^{ndfs} μή^{xo} πείθω^{vnpp}.

ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἐγὼ πέποιθα 9, 10
εἰς ὑμᾶς ἐν κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε, ὁ δὲ ταράσ-
σων ὑμᾶς βαστάσει τὸ κρίμα ὅστις ἂν ᾖ. ἐγὼ δέ ἀδελφοί 11
εἰ περιτομὴν ἔτι κηρύσσω τί ἔτι διώκομαι ἄρα κατήργηται
τὸ σκάνδαλον τοῦ σταυροῦ. ὄφελον καὶ ἀποκόψονται οἱ 12
ἀναστατοῦντες ὑμᾶς. Ὑμεῖς γὰρ ἐπ ἐλευθερίᾳ ἐκλήθητε 13
ἀδελφοί, μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί
ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. ὁ γὰρ πᾶς νό- 14
μος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον
σου ὡς εαυτόν. εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε 15
βλέπετε μὴ ὑπό ἀλλήλων ἀναλωθῆτε. Λέγω δέ πνεύματι 16
περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἡ γὰρ 17
σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος τὸ δὲ πνεῦμα κατὰ τῆς
σαρκός ταῦτα δὲ ἀντίκειται ἀλλήλοις ἵνα μὴ ἃ ἂν θέλητε
ταῦτα ποιῆτε. εἰ δὲ πνεύματι ἄγεσθε οὐκ ἐστὲ ὑπὸ νόμον. 18
φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκός ἅτινά ἐστιν μοιχεία, 19
πορνεία ἀκαθαρσία ἀσέλγεια. εἰδωλολατρεία φαρμακεία 20
ἔχθραι ἔρεις, ζῆλοι, θυμοί ἐριθείαι διχοστασίαι αἱρέσεις.
φθόνοι φόνοι, μέθαι κῶμοι καὶ τὰ ὅμοια τούτοις ἃ προ- 21
λέγω ὑμῖν καθὼς καὶ προεῖπον ὅτι οἱ τὰ τοιαῦτα πράσσον-

---

v.8 ὁ^{dnfs} πεισμονή^{nnfs} οὐ^{xo} ἐκ^{p} ὁ^{dgms} καλέω^{vppagms} σύ$^{rpa\text{-}p}$. **v.9** μικρός^{anfsn} ζύμη^{nnfs} ὅλος^{aansn} ὁ^{dans} φύραμα^{nans} ζυμόω^{vipa3s}. **v.10** ἐγώ$^{rpn\text{-}s}$ πείθω^{vixa1s} εἰς^{p} σύ$^{rpa\text{-}p}$ ἐν^{p} κύριος^{ndms} ὅτι^{c} οὐδείς^{aansn} ἄλλος^{aansn} φρονέω^{vifa2p} ὁ^{dnms} δέ^{c} ταράσσω^{vppanms} σύ$^{rpa\text{-}p}$ βαστάζω^{vifa3s} ὁ^{dans} κρίμα^{nans} ὅστις^{rrnms} ἄν^{xo} εἰμί^{vspx3s}. **v.11** ἐγώ$^{rpn\text{-}s}$ δέ^{c} ἀδελφός^{nvmp} εἰ^{qo} περιτομή^{nafs} ἔτι^{bo} κηρύσσω^{vipa1s} τίς^{rqans} ἔτι^{bo} διώκω^{vipp1s} ἄρα^{xo} καταργέω^{vixp3s} ὁ^{dnns} σκάνδαλον^{nnns} ὁ^{dgms} σταυρός^{ngms}. **v.12** ὄφελον^{i} καί^{c} ἀποκόπτω^{vifm3p} ὁ^{dnmp} ἀναστατόω^{vppanmp} σύ$^{rpa\text{-}p}$. **v.13** σύ$^{rpn\text{-}p}$ γάρ^{c} ἐπί^{p} ἐλευθερία^{ndfs} καλέω^{viap2p} ἀδελφός^{nvmp} μόνος^{bo} μή^{xo} ὁ^{dafs} ἐλευθερία^{nafs} εἰς^{p} ἀφορμή^{nafs} ὁ^{ddfs} σάρξ^{ndfs} ἀλλά^{c} διά^{p} ὁ^{dgfs} ἀγάπη^{ngfs} δουλεύω^{vdpa2p} ἀλλήλων^{redmp}. **v.14** ὁ^{dnms} γάρ^{c} πᾶς^{anmsn} νόμος^{nnms} ἐν^{p} εἷς^{ndms} λόγος^{ndms} πληρόω^{vipp3s} ἐν^{p} ὁ^{ddms} ἀγαπάω^{vifa2s} ὁ^{dams} πλησίον^{bo} σύ$^{rpg\text{-}s}$ ὡς^{bo} ἑαυτοῦ^{rxams}. **v.15** εἰ^{qo} δέ^{c} ἀλλήλων^{reamp} δάκνω^{vipa2p} καί^{c} κατεσθίω^{vipa2p} βλέπω^{vdpa2p} μή^{xo} ὑπό^{p} ἀλλήλων^{regmp} ἀναλίσκω^{vsap2p}. **v.16** λέγω^{vipa1s} δέ^{c} πνεῦμα^{ndns} περιπατέω^{vdpa2p} καί^{c} ἐπιθυμία^{nafs} σάρξ^{ngfs} οὐ^{xo} μή^{xo} τελέω^{vsaa2p}. **v.17** ὁ^{dnfs} γάρ^{c} σάρξ^{nnfs} ἐπιθυμέω^{vipa3s} κατά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} ὁ^{dnns} δέ^{c} πνεῦμα^{nnns} κατά^{p} ὁ^{dgfs} σάρξ^{ngfs} οὗτος^{rdnnp} δέ^{c} ἀντίκειμαι^{vipn3s} ἀλλήλων^{rednp} ἵνα^{c} μή^{xo} ὅς^{rranp} ἄν^{xo} θέλω^{vspa2p} οὗτος^{rdanp} ποιέω^{vspa2p}. **v.18** εἰ^{qo} δέ^{c} πνεῦμα^{ndns} ἄγω^{vipp2p} οὐ^{xo} εἰμί^{vipx2p} ὑπό^{p} νόμος^{nams}. **v.19** φανερός^{annpn} δέ^{c} εἰμί^{vipx3s} ὁ^{dnnp} ἔργον^{nnnp} ὁ^{dgfs} σάρξ^{ngfs} ὅστις^{rrnnp} εἰμί^{vipx3s} μοιχεία^{nnfs} πορνεία^{nnfs} ἀκαθαρσία^{nnfs} ἀσέλγεια^{nnfs}. **v.20** εἰδωλολατρία^{nnfs} φαρμακεία^{nnfs} ἔχθρα^{nnfp} ἔρις^{nnfp} ζηλόω^{nnmp} θυμός^{nnmp} ἐριθεία^{nnfp} διχοστασία^{nnfp} αἵρεσις^{nnfp}.

22 τες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. Ὁ δὲ καρπὸς
τοῦ πνεύματός ἐστιν ἀγάπη χαρά εἰρήνη μακροθυμία χρη-
23 στότης ἀγαθωσύνη πίστις. πραΰτης, ἐγκράτεια, κατὰ τῶν
24 τοιούτων οὐκ ἔστιν νόμος. οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα
25 ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις. εἰ
26 ζῶμεν πνεύματι πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα
κενόδοξοι ἀλλήλους προκαλούμενοι ἀλλήλοις φθονοῦντες.

6 Ἀδελφοί ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώ-
ματι ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύ-
ματι πραΰτητος, σκοπῶν σεαυτόν μὴ καὶ σὺ πειρασθῇς.
2 Ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν
3 νόμον τοῦ Χριστοῦ. εἰ γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὢν ἑαυ-
4 τόν φρεναπατᾷ. τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος
καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει καὶ οὐκ εἰς τὸν
5, 6 ἕτερον, ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. Κοινω-
νείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν
7 ἀγαθοῖς. Μὴ πλανᾶσθε θεὸς οὐ μυκτηρίζεται ὃ γὰρ ἐὰν
8 σπείρῃ ἄνθρωπος τοῦτο καὶ θερίσει, ὅτι ὁ σπείρων εἰς τὴν
σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν ὁ δὲ σπείρων

---

v.21 φθόνος^{nnmp} φόνος^{nnmp} μέθη^{nnfp} κῶμος^{nnmp} καί^{c} ὁ^{dnnp} ὅμοιος^{annpn} οὗτος^{rddnp} ὅς^{rranp} προλέγω^{vipa1s} σύ$^{rpd-p}$ καθώς^{bo} καί^{c} προλέγω^{viaa1s} ὅτι^{c} ὁ^{dnmp} ὁ^{danp} τοιοῦτος^{rdanp} πράσσω^{vppanmp} βασιλεία^{nafs} θεός^{ngms} οὐ^{xo} κληρονομέω^{vifa3p}. **v.22** ὁ^{dnms} δέ^{c} καρπός^{nnms} ὁ^{dgns} πνεῦμα^{ngns} εἰμί^{vipx3s} ἀγάπη^{nnfs} χαρά^{nnfs} εἰρήνη^{nnfs} μακροθυμία^{nnfs} χρηστότης^{nnfs} ἀγαθωσύνη^{nnfs} πίστις^{nnfs}. **v.23** πραΰτης^{nnfs} ἐγκράτεια^{nnfs} κατά^{p} ὁ^{dgnp} τοιοῦτος^{rdgnp} οὐ^{xo} εἰμί^{vipx3s} νόμος^{nnms}. **v.24** ὁ^{dnmp} δέ^{c} ὁ^{dgms} Χριστός^{ngms} ὁ^{dafs} σάρξ^{nafs} σταυρόω^{viaa3p} σύν^{p} ὁ^{ddnp} πάθημα^{ndnp} καί^{c} ὁ^{ddfp} ἐπιθυμία^{ndfp}. **v.25** εἰ^{qo} ζάω^{vipa1p} πνεῦμα^{ndns} πνεῦμα^{ndns} καί^{c} στοιχέω^{vspa1p}. **v.26** μή^{xo} γίνομαι^{vspn1p} κενόδοξος^{anmpn} ἀλλήλων^{reamp} προκαλέω^{vppmnmp} ἀλλήλων^{redmp} φθονέω^{vppanmp}. **6. v.1** ἀδελφός^{nvmp} ἐάν^{qo} καί^{c} προλαμβάνω^{vsap3s} ἄνθρωπος^{nnms} ἐν^{p} τι-σριδνσ παράπτωμα^{ndns} σύ$^{rpn-p}$ ὁ^{dnmp} πνευματικός^{anmpn} καταρτίζω^{vdpa2p} ὁ^{dams} τοιοῦτος^{rdams} ἐν^{p} πνεῦμα^{ndns} πραΰτης^{ngfs} σκοπέω^{vppanms} σεαυτοῦ^{rxams} μή^{xo} καί^{c} σύ$^{rpn-s}$ πειράζω^{vsap2s}. **v.2** ἀλλήλων^{regmp} ὁ^{danp} βάρος^{nanp} βαστάζω^{vdpa2p} καί^{c} οὕτω^{bo} ἀναπληρόω^{vdaa2p} ὁ^{dams} νόμος^{nams} ὁ^{dgms} Χριστός^{ngms}. **v.3** εἰ^{qo} γάρ^{c} δοκέω^{vipa3s} τι-σρινμσ εἰμί^{vnpx} τι-σρινσσ μηδείς^{annsn} εἰμί^{vppxnms} ἑαυτοῦ^{rxams} φρεναπατάω^{vipa3s}. **v.4** ὁ^{dans} δέ^{c} ἔργον^{nans} ἑαυτοῦ^{rxgms} δοκιμάζω^{vdpa3s} ἕκαστος^{anmsn} καί^{c} τότε^{bo} εἰς^{p} ἑαυτοῦ^{rxams} μόνος^{aamsn} ὁ^{dans} καύχημα^{nans} ἔχω^{vifa3s} καί^{c} οὐ^{xo} εἰς^{p} ὁ^{dams} ἕτερος^{aamsn}. **v.5** ἕκαστος^{anmsn} γάρ^{c} ὁ^{dans} ἴδιος^{aamsn} φορτίον^{nans} βαστάζω^{vifa3s}. **v.6** κοινωνέω^{vdpa3s} δέ^{c} ὁ^{dnms} κατηχέω^{vpppnms} ὁ^{dams} λόγος^{nams} ὁ^{ddms} κατηχέω^{vppadms} ἐν^{p} πᾶς^{adnpn} ἀγαθός^{adnpn}. **v.7** μή^{xo} πλανάω^{vdpp2p} θεός^{nnms} οὐ^{xo} μυκτηρίζω^{vipp3s} ὅς^{rrans} γάρ^{c} ἐάν^{qo} σπείρω^{vspa3s} ἄνθρωπος^{nnms} οὗτος^{rdans} καί^{c} θερίζω^{vifa3s}.

εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. τὸ 9
δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερί-
σομεν μὴ ἐκλυόμενοι. ἄρα οὖν ὡς καιρὸν ἔχομεν ἐργαζώ- 10
μεθα τὸ ἀγαθὸν πρὸς πάντας μάλιστα δὲ πρὸς τοὺς οἰκείους
τῆς πίστεως. Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ 11
ἐμῇ χειρί. ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί οὗτοι 12
ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι μόνον ἵνα μὴ τῷ σταυ-
ρῷ τοῦ Χριστοῦ διώκωνται. οὐδὲ γὰρ οἱ περιτετμημένοι 13
αὐτοὶ νόμον φυλάσσουσιν ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνε-
σθαι ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. ἐμοὶ δὲ μὴ 14
γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κό-
σμῳ. ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τί ἰσχύει, οὔτε 15
ἀκροβυστία ἀλλὰ καινὴ κτίσις. καὶ ὅσοι τῷ κανόνι τούτῳ 16
στοιχήσουσιν εἰρήνη ἐπ αὐτοὺς καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσ-
ραὴλ τοῦ θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω, 17
ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυριοῦ Ἰησοῦ ἐν τῷ σώματί μου
βαστάζω. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ 18
τοῦ πνεύματος ὑμῶν ἀδελφοί, ἀμήν.

---

v.8 ὅτι^{c} ὁ^{dnms} σπείρω^{vppanms} εἰς^{p} ὁ^{dafs} σάρξ^{nafs} ἑαυτοῦ^{rxgms} ἐκ^{p} ὁ^{dgfs} σάρξ^{ngfs} θερίζω^{vifa3s} φθορά^{nafs} ὁ^{dnms} δέ^{c} σπείρω^{vppanms} εἰς^{p} ὁ^{dans} πνεῦμα^{nans} ἐκ^{p} ὁ^{dgns} πνεῦμα^{ngns} θερίζω^{vifa3s} ζωή^{nafs} αἰώνιος^{aafsn}. **v.9** ὁ^{dnns} δέ^{c} καλός^{aansn} ποιέω^{vppanmp} μή^{xo} ἐγκακέω^{vspa1p} καιρός^{ndms} γάρ^{c} ἴδιος^{admsn} θερίζω^{vifa1p} μή^{xo} ἐκλύω^{vpppnmp}. **v.10** ἄρα^{xo} οὖν^{c} ὡς^{bo} καιρός^{nams} ἔχω^{vipa1p} ἐργάζομαι^{vspn1p} ὁ^{dans} ἀγαθός^{aansn} πρός^{p} πᾶς^{aampn} μάλιστα^{bo} δέ^{c} πρός^{p} ὁ^{damp} οἰκεῖος^{aampn} ὁ^{dgfs} πίστις^{ngfs}. **v.11** ὁράω^{vdaa2p} πηλίκος^{adnpn} σύ$^{rpd-p}$ γράμμα^{ndnp} γράφω^{viaa1s} ὁ^{ddfs} ἐμός^{rsdfs} χείρ^{ndfs}. **v.12** ὅσος^{rcnmp} θέλω^{vipa3p} εὐπροσωπέω^{vnaa} ἐν^{p} σάρξ^{ndfs} οὗτος^{rdnmp} ἀναγκάζω^{vipa3p} σύ$^{rpa-p}$ περιτέμνω^{vnpp} μόνος^{bo} ἵνα^{c} μή^{xo} ὁ^{ddms} σταυρός^{ndms} ὁ^{dgms} Χριστός^{ngms} διώκω^{vspp3p}. **v.13** οὐδέ^{bo} γάρ^{c} ὁ^{dnmp} περιτέμνω^{vpxpnmp} αὐτός^{rpnmp} νόμος^{nams} φυλάσσω^{vipa3p} ἀλλά^{c} θέλω^{vipa3p} σύ$^{rpa-p}$ περιτέμνω^{vnpp} ἵνα^{c} ἐν^{p} ὁ^{ddfs} ὑμέτερος^{rsdfs} σάρξ^{ndfs} καυχάομαι^{vsad3p}. **v.14** ἐγώ$^{rpd-s}$ δέ^{c} μή^{xo} γίνομαι^{voad3s} καυχάομαι^{vnpn} εἰ^{qo} μή^{xo} ἐν^{p} ὁ^{ddms} σταυρός^{ndms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} ὅς^{rrgms} ἐγώ$^{rpd-s}$ κόσμος^{nnms} σταυρόω^{vixp3s} κἀγώ$^{rpn-s}$ ὁ^{ddms} κόσμος^{ndms}. **v.15** ἐν^{p} γάρ^{c} Χριστός^{ndms} Ἰησοῦς^{ndms} οὔτε^{c} περιτομή^{nnfs} τίς^{rians} ἰσχύω^{vipa3s} οὔτε^{c} ἀκροβυστία^{nnfs} ἀλλά^{c} καινός^{anfsn} κτίσις^{nnfs}. **v.16** καί^{c} ὅσος^{rcnmp} ὁ^{ddms} κανών^{ndms} οὗτος^{rddms} στοιχέω^{vifa3p} εἰρήνη^{nnfs} ἐπί^{p} αὐτός^{rpamp} καί^{c} ἔλεος^{nnms} καί^{c} ἐπί^{p} ὁ^{dams} Ἰσραήλ^{tp} ὁ^{dgms} θεός^{ngms}. **v.17** ὁ^{dgns} λοιπός^{agnsn} κόπος^{namp} ἐγώ$^{rpd-s}$ μηδείς^{anmsn} παρέχω^{vdpa3s} ἐγώ$^{rpn-s}$ γάρ^{c} ὁ^{danp} στίγμα^{nanp} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} ἐν^{p} ὁ^{ddns} σῶμα^{ndns} ἐγώ$^{rpg-s}$ βαστάζω^{vipa1s}. **v.18** ὁ^{dnfs} χάρις^{nnfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg-p}$ ἀδελφός^{nvmp} ἀμήνth.

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

1 Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰ-
2 ησοῦ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ
3 κυρίου Ἰησοῦ Χριστοῦ. Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ
4 εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ. καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ.
5 προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐ-
6 τόν κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ. εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠ-
7 γαπημένῳ. ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς
8 χάριτος αὐτοῦ. ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ
9 καὶ φρονήσει. γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος
10 αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο ἐν αὐτῷ. εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν ἀνακεφαλαιώσα-
σθαι τὰ πάντα ἐν τῷ Χριστῷ τὰ ἐπὶ τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} θέλημα^{ngns} θεός^{ngms} ὁ^{ddmp} ἅγιος^{admpn} ὁ^{ddmp} εἰμί^{vppxdmp} ἐν^{p} Ἔφεσος^{ndfs} καί^{c} πιστός^{admpn} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.2** χάρις^{nnfs} σύ$^{rpd-p}$ καί^{c} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} ἐγώ$^{rpg-p}$ καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.3** εὐλογητός^{anmsn} ὁ^{dnms} θεός^{nnms} καί^{c} πατήρ^{nnms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dnms} εὐλογέω^{vpaanms} ἐγώ$^{rpa-p}$ ἐν^{p} πᾶς^{adfsn} εὐλογία^{ndfs} πνευματικός^{adfsn} ἐν^{p} ὁ^{ddnp} ἐπουράνιος^{adnpn} ἐν^{p} Χριστός^{ndms}. **v.4** καθώς^{bo} ἐκλέγω^{viam3s} ἐγώ$^{rpa-p}$ ἐν^{p} αὐτός^{rpdms} πρό^{p} καταβολή^{ngfs} κόσμος^{ngms} εἰμί^{vnpx} ἐγώ$^{rpa-p}$ ἅγιος^{aampn} καί^{c} ἄμωμος^{aampn} κατενώπιον^{p} αὐτός^{rpgms} ἐν^{p} ἀγάπη^{ndfs}. **v.5** προορίζω^{vpaanms} ἐγώ$^{rpa-p}$ εἰς^{p} υἱοθεσία^{nafs} διά^{p} Ἰησοῦς^{ngms} Χριστός^{ngms} εἰς^{p} αὐτός^{rpams} κατά^{p} ὁ^{dafs} εὐδοκία^{nafs} ὁ^{dgns} θέλημα^{ngns} αὐτός^{rpgms}. **v.6** εἰς^{p} ἔπαινος^{nams} δόξα^{ngfs} ὁ^{dgfs} χάρις^{ngfs} αὐτός^{rpgms} ἐν^{p} ὅς^{rrdfs} χαριτόω^{viaa3s} ἐγώ$^{rpa-p}$ ἐν^{p} ὁ^{ddms} ἀγαπάω^{vpxpdms}. **v.7** ἐν^{p} ὅς^{rrdms} ἔχω^{vipa1p} ὁ^{dafs} ἀπολύτρωσις^{nafs} διά^{p} ὁ^{dgns} αἷμα^{ngns} αὐτός^{rpgms} ὁ^{dafs} ἄφεσις^{nafs} ὁ^{dgnp} παράπτωμα^{ngnp} κατά^{p} ὁ^{dams} πλοῦτος^{nams} ὁ^{dgfs} χάρις^{ngfs} αὐτός^{rpgms}. **v.8** ὅς^{rrgfs} περισσεύω^{viaa3s} εἰς^{p} ἐγώ$^{rpa-p}$ ἐν^{p} πᾶς^{adfsn} σοφία^{ndfs} καί^{c} φρόνησις^{ndfs}. **v.9** γνωρίζω^{vpaanms} ἐγώ$^{rpd-p}$ ὁ^{dans} μυστήριον^{nans} ὁ^{dgns} θέλημα^{ngns} αὐτός^{rpgms} κατά^{p} ὁ^{dafs} εὐδοκία^{nafs} αὐτός^{rpgms} ὅς^{rrafs} προτίθημι^{viam3s} ἐν^{p} αὐτός^{rpdms}.

τῆς γῆς. ἐν αὐτῷ ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες 11
κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βου-
λὴν τοῦ θελήματος αὐτοῦ. εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον 12
δόξης αὐτοῦ τοὺς προηλπικότας ἐν τῷ Χριστῷ. ἐν ᾧ καὶ 13
ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας τὸ εὐαγγέλιον
τῆς σωτηρίας ὑμῶν ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ
πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ. ὅς ἐστιν ἀρραβὼν τῆς 14
κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως εἰς
ἔπαινον τῆς δόξης αὐτοῦ. Διὰ τοῦτο κἀγώ ἀκούσας τὴν 15
καθ ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ Ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς
πάντας τοὺς ἁγίους. οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, 16
μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου. ἵνα ὁ 17
θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πατὴρ τῆς δόξης
δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει
αὐτοῦ. πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν 18
εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ καὶ
τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγί-
οις. καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς 19
ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς
ἰσχύος αὐτοῦ. ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ ἐγείρας αὐτὸν 20

---

v.10 εἰς^{p} οἰκονομία^{nafs} ὁ^{dgns} πλήρωμα^{ngns} ὁ^{dgmp} καιρός^{ngmp} ἀνακεφαλαιόω^{vnad} ὁ^{danp} πᾶς^{aanpn} ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms} ὁ^{danp} ἐπί^{p} ὁ^{ddmp} οὐρανός^{ndmp} καί^{c} ὁ^{danp} ἐπί^{p} ὁ^{dgfs} γῆ^{ngfs}. **v.11** ἐν^{p} αὐτός^{rpdms} ἐν^{p} ὅς^{rrdms} καί^{c} κληρόω^{viap1p} προορίζω^{vpapnmp} κατά^{p} πρόθεσις^{nafs} ὁ^{dgms} ὁ^{danp} πᾶς^{aanpn} ἐνεργέω^{vppagms} κατά^{p} ὁ^{dafs} βουλή^{nafs} ὁ^{dgns} θέλημα^{ngns} αὐτός^{rpgms}. **v.12** εἰς^{p} ὁ^{dans} εἰμί^{vnpx} ἐγώ$^{rpa-p}$ εἰς^{p} ἔπαινος^{nams} δόξα^{ngfs} αὐτός^{rpgms} ὁ^{damp} προελπίζω^{vpxaamp} ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms}. **v.13** ἐν^{p} ὅς^{rrdms} καί^{c} σύ$^{rpn-p}$ ἀκούω^{vpaanmp} ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} ἀλήθεια^{ngfs} ὁ^{dans} εὐαγγέλιον^{nans} ὁ^{dgfs} σωτηρία^{ngfs} σύ$^{rpg-p}$ ἐν^{p} ὅς^{rrdms} καί^{c} πιστεύω^{vpaanmp} σφραγίζω^{viap2p} ὁ^{ddns} πνεῦμα^{ndns} ὁ^{dgfs} ἐπαγγελία^{ngfs} ὁ^{ddns} ἅγιος^{adnsn}. **v.14** ὅς^{rrnms} εἰμί^{vipx3s} ἀρραβών^{nnms} ὁ^{dgfs} κληρονομία^{ngfs} ἐγώ$^{rpg-p}$ εἰς^{p} ἀπολύτρωσις^{nafs} ὁ^{dgfs} περιποίησις^{ngfs} εἰς^{p} ἔπαινος^{nams} ὁ^{dgfs} δόξα^{ngfs} αὐτός^{rpgms}. **v.15** διά^{p} οὗτος^{rdans} κἀγώ$^{rpn-s}$ ἀκούω^{vpaanms} ὁ^{dafs} κατά^{p} σύ$^{rpa-p}$ πίστις^{nafs} ἐν^{p} ὁ^{ddms} κύριος^{ndms} Ἰησοῦς^{ndms} καί^{c} ὁ^{dafs} ἀγάπη^{nafs} ὁ^{dafs} εἰς^{p} πᾶς^{aampn} ὁ^{damp} ἅγιος^{aampn}. **v.16** οὐ^{xo} παύω^{vipm1s} εὐχαριστέω^{vppanms} ὑπέρ^{p} σύ$^{rpg-p}$ μνεία^{nafs} σύ$^{rpg-p}$ ποιέω^{vppmnms} ἐπί^{p} ὁ^{dgfp} προσευχή^{ngfp} ἐγώ$^{rpg-s}$. **v.17** ἵνα^{c} ὁ^{dnms} θεός^{nnms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dnms} πατήρ^{nnms} ὁ^{dgfs} δόξα^{ngfs} δίδωμι^{voaa3s} σύ$^{rpd-p}$ πνεῦμα^{nans} σοφία^{ngfs} καί^{c} ἀποκάλυψις^{ngfs} ἐν^{p} ἐπίγνωσις^{ndfs} αὐτός^{rpgms}. **v.18** φωτίζω^{vpxpamp} ὁ^{damp} ὀφθαλμός^{namp} ὁ^{dgfs} καρδία^{ngfs} σύ$^{rpg-p}$ εἰς^{p} ὁ^{dans} οἶδα^{vnxa} σύ$^{rpa-p}$ τίς^{rqnfs} εἰμί^{vipx3s} ὁ^{dnfs} ἐλπίς^{nnfs} ὁ^{dgfs} κλῆσις^{ngfs} αὐτός^{rpgms} καί^{c} τίς^{rqnms} ὁ^{dnms} πλοῦτος^{nnms} ὁ^{dgfs} δόξα^{ngfs} ὁ^{dgfs} κληρονομία^{ngfs} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddmp} ἅγιος^{admpn}. **v.19** καί^{c} τίς^{rqnns} ὁ^{dnns} ὑπερβάλλω^{vppanns} μέγεθος^{nnns} ὁ^{dgfs} δύναμις^{ngfs} αὐτός^{rpgms} εἰς^{p} ἐγώ$^{rpa-p}$ ὁ^{damp} πιστεύω^{vppaamp} κατά^{p} ὁ^{dafs} ἐνέργεια^{nafs} ὁ^{dgns} κράτος^{ngns} ὁ^{dgfs} ἰσχύς^{ngfs} αὐτός^{rpgms}.

ἐκ τῶν νεκρῶν καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρα-
21 νίοις. ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως
καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μό-
22 νον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, καὶ πάντα
ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ αὐτὸν ἔδωκεν κεφα-
23 λὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ. ἥτις ἐστὶν τὸ σῶμα αὐτοῦ τὸ
πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου.

2 Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς ἁ-
2 μαρτίαις. ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ
κόσμου τούτου κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος
τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀ-
3 πειθείας, ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν
ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν ποιοῦντες τὰ θελήματα
τῆς σαρκὸς καὶ τῶν διανοιῶν καὶ ἤμεν τέκνα φύσει ὀρ-
4 γῆς ὡς καὶ οἱ λοιποί, ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ
5 τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς. καὶ ὄντας
ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν συνεζωοποίησεν τῷ Χρι-
6 στῷ χάριτί ἐστε σεσῳσμένοι. καὶ συνήγειρεν καὶ συνεκά-
7 θισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. ἵνα ἐνδείξηται
ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦ-
τον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ ἡμᾶς ἐν Χριστῷ

---

v.20 ὅς^{rrafs} ἐνεργέω^{viaa3s} ἐν^{p} ὁ^{ddms} Χριστός^{ndms} ἐγείρω^{vpaanms} αὐτός^{rpams} ἐκ^{p} ὁ^{dgmp} νεκρός^{agmpn} καί^{c} καθίζω^{viaa3s} ἐν^{p} δεξιός^{adfsn} αὐτός^{rpgms} ἐν^{p} ὁ^{ddnp} ἐπουράνιος^{adnpn}. **v.21** ὑπεράνω^{bo} πᾶς^{agfsn} ἀρχή^{ngfs} καί^{c} ἐξουσία^{ngfs} καί^{c} δύναμις^{ngfs} καί^{c} κυριότης^{ngfs} καί^{c} πᾶς^{agnsn} ὄνομα^{ngns} ὀνομάζω^{vpppgns} οὐ^{xo} μόνος^{bo} ἐν^{p} ὁ^{ddms} αἰών^{ndms} οὗτος^{rddms} ἀλλά^{c} καί^{c} ἐν^{p} ὁ^{ddms} μέλλω^{vppadms}. **v.22** καί^{c} πᾶς^{aanpn} ὑποτάσσω^{viaa3s} ὑπό^{p} ὁ^{damp} πούς^{namp} αὐτός^{rpgms} καί^{c} αὐτός^{rpams} δίδωμι^{viaa3s} κεφαλή^{nafs} ὑπέρ^{p} πᾶς^{aanpn} ὁ^{ddfs} ἐκκλησία^{ndfs}. **v.23** ὅστις^{rrnfs} εἰμί^{vipx3s} ὁ^{dnns} σῶμα^{nnns} αὐτός^{rpgms} ὁ^{dnns} πλήρωμα^{nnns} ὁ^{dgns} ὁ^{danp} πᾶς^{aanpn} ἐν^{p} πᾶς^{adnpn} πληρόω^{vppmgms}. **2. v.1** καί^{c} σύ$^{rpa-p}$ εἰμί^{vppxamp} νεκρός^{aampn} ὁ^{ddnp} παράπτωμα^{ndnp} καί^{c} ὁ^{ddfp} ἁμαρτία^{ndfp}. **v.2** ἐν^{p} ὅς^{rrdfp} ποτέ^{xo} περιπατέω^{viaa2p} κατά^{p} ὁ^{dams} αἰών^{nams} ὁ^{dgms} κόσμος^{ngms} οὗτος^{rdgms} κατά^{p} ὁ^{dams} ἄρχων^{nams} ὁ^{dgfs} ἐξουσία^{ngfs} ὁ^{dgms} ἀήρ^{ngms} ὁ^{dgns} πνεῦμα^{ngns} ὁ^{dgns} νῦν^{bo} ἐνεργέω^{vppagns} ἐν^{p} ὁ^{ddmp} υἱός^{ndmp} ὁ^{dgfs} ἀπείθεια^{ngfs}. **v.3** ἐν^{p} ὅς^{rrdmp} καί^{c} ἐγώ$^{rpn-p}$ πᾶς^{anmpn} ἀναστρέφω^{viap1p} ποτέ^{xo} ἐν^{p} ὁ^{ddfp} ἐπιθυμία^{ndfp} ὁ^{dgfs} σάρξ^{ngfs} ἐγώ$^{rpg-p}$ ποιέω^{vppanmp} ὁ^{danp} θέλημα^{nanp} ὁ^{dgfs} σάρξ^{ngfs} καί^{c} ὁ^{dgfp} διάνοια^{ngfp} καί^{c} εἰμί^{viix1p} τέκνον^{nnnp} φύσις^{ndfs} ὀργή^{ngfs} ὡς^{bo} καί^{c} ὁ^{dnmp} λοιπός^{anmpn}. **v.4** ὁ^{dnms} δέ^{c} θεός^{nnms} πλούσιος^{anmsn} εἰμί^{vppxnms} ἐν^{p} ἔλεος^{ndns} διά^{p} ὁ^{dafs} πολύς^{aafsn} ἀγάπη^{nafs} αὐτός^{rpgms} ὅς^{rrafs} ἀγαπάω^{viaa3s} ἐγώ$^{rpa-p}$. **v.5** καί^{c} εἰμί^{vppxamp} ἐγώ$^{rpa-p}$ νεκρός^{aampn} ὁ^{ddnp} παράπτωμα^{ndnp} συζωοποιέω^{viaa3s} ὁ^{ddms} Χριστός^{ndms} χάρις^{ndfs} εἰμί^{vipx2p} σῴζω^{vpxpnmp}. **v.6** καί^{c} συνεγείρω^{viaa3s} καί^{c} συγκαθίζω^{viaa3s} ἐν^{p} ὁ^{ddnp} ἐπουράνιος^{adnpn} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}.

Ἰησοῦ. τῇ γὰρ χάριτί ἐστε σεσῳσμένοι διὰ τῆς πίστεως, 8
καὶ τοῦτο οὐκ ἐξ ὑμῶν θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων ἵνα 9
μή τις καυχήσηται. αὐτοῦ γάρ ἐσμεν ποίημα κτισθέντες 10
ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς οἷς προητοίμασεν ὁ
θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Διὸ μνημονεύετε ὅτι 11
ὑμεῖς ποτὲ τὰ ἔθνη ἐν σαρκί οἱ λεγόμενοι ἀκροβυστία ὑ-
πὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου. ὅτι 12
ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς
πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγε-
λίας ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ. νυνὶ δὲ ἐν 13
Χριστῷ Ἰησοῦ ὑμεῖς οἵ ποτε ὄντες μακρὰν ἐγγὺς ἐγενήθητε
ἐν τῷ αἵματι τοῦ Χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν 14
ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ
λύσας. τὴν ἔχθραν ἐν τῇ σαρκί αὐτοῦ τὸν νόμον τῶν ἐντο- 15
λῶν ἐν δόγμασιν καταργήσας ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ
εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην. καὶ ἀποκαταλλά- 16
ξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ τοῦ σταυροῦ
ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. καὶ ἐλθὼν εὐηγγελίσατο 17
πιστῶν ἐν λόγῳ ἐν ἀναστροφῇ ἐν ἀγάπῃ ἐν πνεύματι, ἐν
πίστει ἐν ἁγνείᾳ. ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει τῇ 13
παρακλήσει τῇ διδασκαλίᾳ. μὴ ἀμέλει τοῦ ἐν σοὶ χα- 14
ρίσματος ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν
χειρῶν τοῦ πρεσβυτερίου. ταῦτα μελέτα ἐν τούτοις ἴσθι ἵνα 15
σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. ἔπεχε σεαυτῷ καὶ τῇ 16
διδασκαλίᾳ ἐπίμενε αὐτοῖς, τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν
σώσεις καὶ τοὺς ἀκούοντάς σου.

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς ἀλλὰ παρακάλει ὡς πατέρα **5**

---

v.6 οὗτος^{rdanp} ὑποτίθημι^{vppmnms} ὁ^{ddmp} ἀδελφός^{ndmp} καλός^{anmsn} εἰμί^{vifx2s} διάκονος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ἐντρέφω^{vpppnms} ὁ^{ddmp} λόγος^{ndmp} ὁ^{dgfs} πίστις^{ngfs} καί^{c} ὁ^{dgfs} καλός^{agfsn} διδασκαλία^{ngfs} ὅς^{rrdfs} παρακολουθέω^{vixa2s}. **v.7** ὁ^{damp} δέ^{c} βέβηλος^{aampn} καί^{c} γραώδης^{aampn} μῦθος^{namp} παραιτέομαι^{vdpn2s} γυμνάζω^{vdpa2s} δέ^{c} σεαυτοῦ^{rxams} πρός^{p} εὐσέβεια^{nafs}. **v.8** ὁ^{dnfs} γάρ^{c} σωματικός^{anfsn} γυμνασία^{nnfs} πρός^{p} ὀλίγος^{aamsn} εἰμί^{vipx3s} ὠφέλιμος^{anmsn} ὁ^{dnfs} δέ^{c} εὐσέβεια^{nnfs} πρός^{p} πᾶς^{aanpn} ὠφέλιμος^{anmsn} εἰμί^{vipx3s} ἐπαγγελία^{nafs} ἔχω^{vppanfs} ζωή^{ngfs} ὁ^{dgfs} νῦν^{bo} καί^{c} ὁ^{dgfs} μέλλω^{vppagfs}. **v.9** πιστός^{anmsn} ὁ^{dnms} λόγος^{nnms} καί^{c} πᾶς^{agfsn} ἀποδοχή^{ngfs} ἄξιος^{anmsn}. **v.10** εἰς^{p} οὗτος^{rdans} γάρ^{c} καί^{c} κοπιάω^{vipa1p} καί^{c} ὀνειδίζω^{vipp1p} ὅτι^{c} ἐλπίζω^{vixa1p} ἐπί^{p} θεός^{ndms} ζάω^{vppadms} ὅς^{rrnms} εἰμί^{vipx3s} σωτήρ^{nnms} πᾶς^{agmpn} ἄνθρωπος^{ngmp} μάλιστα^{bo} πιστός^{agmpn}. **v.11** παραγγέλλω^{vdpa2s} οὗτος^{rdanp} καί^{c} διδάσκω^{vdpa2s}. **v.12** μηδείς^{anmsn} σύ$^{rpg-s}$ ὁ^{dgfs} νεότης^{ngfs} καταφρονέω^{vdpa3s} ἀλλά^{c} τύπος^{nnms} γίνομαι^{vdpn2s} ὁ^{dgmp} πιστός^{agmpn} ἐν^{p} λόγος^{ndms} ἐν^{p} ἀναστροφή^{ndfs} ἐν^{p} ἀγάπη^{ndfs} ἐν^{p} πνεῦμα^{ndns} ἐν^{p} πίστις^{ndfs} ἐν^{p} ἁγνεία^{ndfs}. **v.13** ἕως^{c} ἔρχομαι^{vipn1s} προσέχω^{vdpa2s} ὁ^{ddfs} ἀνάγνωσις^{ndfs} ὁ^{ddfs} παράκλησις^{ndfs} ὁ^{ddfs} διδασκαλία^{ndfs}. **v.14** μή^{xo} ἀμελέω^{vdpa2s} ὁ^{dgns} ἐν^{p} σύ$^{rpd-s}$ χάρισμα^{ngns} ὅς^{rrnns} δίδωμι^{viap3s} σύ$^{rpd-s}$ διά^{p} προφητεία^{ngfs} μετά^{p} ἐπίθεσις^{ngfs} ὁ^{dgfp} χείρ^{ngfp} ὁ^{dgns} πρεσβυτέριον^{ngns}. **v.15** οὗτος^{rdanp} μελετάω^{vdpa2s} ἐν^{p} οὗτος^{rddnp} εἰμί^{vdpx2s} ἵνα^{c} σύ$^{rpg-s}$ ὁ^{dnfs} προκοπή^{nnfs} φανερός^{anfsn} εἰμί^{vspx3s} ἐν^{p} πᾶς^{admpn}. **v.16** ἐπέχω^{vdpa2s} σεαυτοῦ^{rxdms} καί^{c} ὁ^{ddfs} διδασκαλία^{ndfs} ἐπιμένω^{vdpa2s} αὐτός^{rpdmp} οὗτος^{rdans} γάρ^{c} ποιέω^{vppanms} καί^{c} σεαυτοῦ^{rxams} σῴζω^{vifa2s} καί^{c} ὁ^{damp} ἀκούω^{vppaamp} σύ$^{rpg-s}$.

2 νεωτέρους ὡς ἀδελφούς. πρεσβυτέρας ὡς μητέρας νεωτέ-
3 ρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. Χήρας τίμα τὰς ὄντως
4 χήρας. εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει μανθανέτωσαν
πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι
τοῖς προγόνοις, τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ θε-
5 οῦ. ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τόν
θεὸν καὶ προσμένει ταῖς δεήσεσιν καὶ ταῖς προσευχαῖς νυ-
6, 7 κτὸς καὶ ἡμέρας. ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. καὶ
8 ταῦτα παράγγελλε ἵνα ἀνεπίληπτοι ὦσιν. εἰ δέ τις τῶν ἰ-
δίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ τὴν πίστιν ἤρνηται
9 καὶ ἔστιν ἀπίστου χείρων. Χήρα καταλεγέσθω μὴ ἔλαττον
10 ἐτῶν ἑξήκοντα γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή. ἐν ἔργοις κα-
λοῖς μαρτυρουμένη εἰ ἐτεκνοτρόφησεν εἰ ἐξενοδόχησεν εἰ
ἁγίων πόδας ἔνιψεν εἰ θλιβομένοις ἐπήρκεσεν εἰ παντὶ ἔρ-
11 γῳ ἀγαθῷ ἐπηκολούθησεν. νεωτέρας δὲ χήρας παραιτοῦ,
ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ γαμεῖν θέλουσιν.
12, 13 ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν, ἅμα δὲ
καὶ ἀργαὶ μανθάνουσιν περιερχόμεναι τὰς οἰκίας οὐ μό-
νον δὲ ἀργαὶ ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι λαλοῦσαι τὰ
14 μὴ δέοντα. βούλομαι οὖν νεωτέρας γαμεῖν τεκνογονεῖν
οἰκοδεσποτεῖν μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ

---

5. v.1 πρεσβύτερος^{admsn} μή^{xo} ἐπιπλήσσω^{vsaa2s} ἀλλά^{c} παρακαλέω^{vdpa2s} ὡς^{bo} πατήρ^{nams} νέος^{aampc} ὡς^{bo} ἀδελφός^{namp}. **v.2** πρεσβύτερος^{aafpn} ὡς^{bo} μήτηρ^{nafp} νέος^{aafpc} ὡς^{bo} ἀδελφή^{nafp} ἐν^{p} πᾶς^{adfsn} ἁγνεία^{ndfs}. **v.3** χήρα^{nafp} τιμάω^{vdpa2s} ὁ^{dafp} ὄντως^{bo} χήρα^{nafp}. **v.4** εἰ^{qo} δέ^{c} τι-σρινμσ χήρα^{nnfs} τέκνον^{nanp} ἤ^{xo} ἔκγονος^{aanpn} ἔχω^{vipa3s} μανθάνω^{vdpa3p} πρῶτος^{bo} ὁ^{dams} ἴδιος^{aamsn} οἶκος^{nams} εὐσεβέω^{vnpa} καί^{c} ἀμοιβή^{nafp} ἀποδίδωμι^{vnpa} ὁ^{ddmp} πρόγονος^{ndmp} οὗτος^{rdnns} γάρ^{c} εἰμί^{vipx3s} ἀπόδεκτος^{annsn} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms}. **v.5** ὁ^{dnfs} δέ^{c} ὄντως^{bo} χήρα^{nnfs} καί^{c} μονόω^{vpxpnfs} ἐλπίζω^{vixa3s} ἐπί^{p} ὁ^{dams} θεός^{nams} καί^{c} προσμένω^{vipa3s} ὁ^{ddfp} δέησις^{ndfp} καί^{c} ὁ^{ddfp} προσευχή^{ndfp} νύξ^{ngfs} καί^{c} ἡμέρα^{ngfs}. **v.6** ὁ^{dnfs} δέ^{c} σπαταλάω^{vppanfs} ζάω^{vppanfs} θνήσκω^{vixa3s}. **v.7** καί^{c} οὗτος^{rdanp} παραγγέλλω^{vdpa2s} ἵνα^{c} ἀνεπίλημπτος^{anmpn} εἰμί^{vspx3p}. **v.8** εἰ^{qo} δέ^{c} τι-σρινμσ ὁ^{dgmp} ἴδιος^{agmpn} καί^{c} μάλιστα^{bo} ὁ^{dgmp} οἰκεῖος^{agmpn} οὐ^{xo} προνοέω^{vipa3s} ὁ^{dafs} πίστις^{nafs} ἀρνέομαι^{vixd3s} καί^{c} εἰμί^{vipx3s} ἄπιστος^{agmsn} χείρων^{anmsc}. **v.9** χήρα^{nnfs} καταλέγω^{vdpp3s} μή^{xo} ἐλάσσων^{annsn} ἔτος^{ngnp} ἑξήκοντα^{tn} γίνομαι^{vpxanfs} εἷς^{ngms} ἀνήρ^{ngms} γυνή^{nnfs}. **v.10** ἐν^{p} ἔργον^{ndnp} καλός^{adnpn} μαρτυρέω^{vpppnfs} εἰ^{qo} τεκνοτροφέω^{viaa3s} εἰ^{qo} ξενοδοχέω^{viaa3s} εἰ^{qo} ἅγιος^{agmpn} πούς^{namp} νίπτω^{viaa3s} εἰ^{qo} θλίβω^{vpppdmp} ἐπαρκέω^{viaa3s} εἰ^{qo} πᾶς^{adnsn} ἔργον^{ndns} ἀγαθός^{adnsn} ἐπακολουθέω^{viaa3s}. **v.11** νέος^{aafpc} δέ^{c} χήρα^{nafp} παραιτέομαι^{vdpn2s} ὅταν^{c} γάρ^{c} καταστρηνιάω^{vsaa3p} ὁ^{dgms} Χριστός^{ngms} γαμέω^{vnpa} θέλω^{vipa3p}. **v.12** ἔχω^{vppanfp} κρίμα^{nans} ὅτι^{c} ὁ^{dafs} πρῶτος^{aafsn} πίστις^{nafs} ἀθετέω^{viaa3p}. **v.13** ἅμα^{bo} δέ^{c} καί^{c} ἀργός^{anfpn} μανθάνω^{vipa3p} περιέρχομαι^{vppnnfp} ὁ^{dafp} οἰκία^{nafp} οὐ^{xo} μόνος^{bo} δέ^{c} ἀργός^{anfpn} ἀλλά^{c} καί^{c} φλύαρος^{anfpn} καί^{c} περίεργος^{anmpn} λαλέω^{vppanfp} ὁ^{danp} μή^{xo} δεῖ^{vppqanp}.

λοιδορίας χάριν, ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ 15
Σατανᾶ. εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας ἐπαρκείτω αὐ- 16
ταῖς καὶ μὴ βαρείσθω ἡ ἐκκλησία ἵνα ταῖς ὄντως χήραις
ἐπαρκέσῃ. Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τι- 17
μῆς ἀξιούσθωσαν μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδα-
σκαλίᾳ. λέγει γὰρ ἡ γραφή Βοῦν ἀλοῶντα οὐ φιμώσεις 18
καί Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. κατὰ πρεσβυτέ- 19
ρου κατηγορίαν μὴ παραδέχου ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν
μαρτύρων. τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε ἵνα 20
καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. Διαμαρτύρομαι ἐνώπιον τοῦ 21
θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων
ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος μηδὲν ποιῶν κατὰ
πρόσκλησιν. Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει μηδὲ κοινώ- 22
νει ἁμαρτίαις ἀλλοτρίαις, σεαυτὸν ἁγνὸν τήρει. Μηκέτι 23
ὑδροπότει ἀλλ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχον σου καὶ
τὰς πυκνάς σοῦ ἀσθενείας. Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι 24
πρόδηλοί εἰσιν προάγουσαι εἰς κρίσιν τισὶν δὲ καὶ ἐπακο-
λουθοῦσιν, ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλα ἐστίν καὶ 25
τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύνανται.

Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους δεσπότας πά- **6**

---

v.14 βούλομαι^{vipn1s} οὖν^{c} νέος^{aafpc} γαμέω^{vnpa} τεκνογονέω^{vnpa} οἰκοδεσποτέω^{vnpa} μηδείς^{aafsn} ἀφορμή^{nafs} δίδωμι^{vnpa} ὁ^{ddms} ἀντίκειμαι^{vppndms} λοιδορία^{ngfs} χάριν^{bo}. **v.15** ἤδη^{bo} γάρ^{c} τι-σρινμπ ἐκτρέπω^{viap3p} ὀπίσω^{bo} ὁ^{dgms} Σατανᾶς^{ngms}. **v.16** εἰ^{qo} τι-σρινμσ πιστός^{anmsn} ὁ^{xo} πιστός^{anfsn} ἔχω^{vipa3s} χήρα^{nafp} ἐπαρκέω^{vdpa3s} αὐτός^{rpdfp} καί^{c} μή^{xo} βαρέω^{vdpp3s} ὁ^{dnfs} ἐκκλησία^{nnfs} ἵνα^{c} ὁ^{ddfp} ὄντως^{bo} χήρα^{ndfp} ἐπαρκέω^{vsaa3s}. **v.17** ὁ^{dnmp} καλῶς^{bo} προΐστημι^{vpxanmp} πρεσβύτερος^{anmpn} διπλοῦς^{agfsn} τιμή^{ngfs} ἀξιόω^{vdpp3p} μάλιστα^{bo} ὁ^{dnmp} κοπιάω^{vppanmp} ἐν^{p} λόγος^{ndms} καί^{c} διδασκαλία^{ndfs}. **v.18** λέγω^{vipa3s} γάρ^{c} ὁ^{dnfs} γραφή^{nnfs} βοῦς^{nams} ἀλοάω^{vppaams} οὐ^{xo} φιμόω^{vifa2s} καί^{c} ἄξιος^{anmsn} ὁ^{dnms} ἐργάτης^{nnms} ὁ^{dgms} μισθός^{ngms} αὐτός^{rpgms}. **v.19** κατά^{p} πρεσβύτερος^{agmsn} κατηγορία^{nafs} μή^{xo} παραδέχομαι^{vdpn2s} ἐκτός^{bo} εἰ^{qo} μή^{xo} ἐπί^{p} δύο^{tn} ἤ^{xo} τρεῖς^{ngmp} μάρτυς^{ngmp}. **v.20** ὁ^{damp} ἁμαρτάνω^{vppaamp} ἐνώπιον^{bo} πᾶς^{agmpn} ἐλέγχω^{vdpa2s} ἵνα^{c} καί^{c} ὁ^{dnmp} λοιπός^{anmpn} φόβος^{nams} ἔχω^{vspa3p}. **v.21** διαμαρτύρομαι^{vipn1s} ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} καί^{c} ὁ^{dgmp} ἐκλεκτός^{agmpn} ἄγγελος^{ngmp} ἵνα^{c} οὗτος^{rdanp} φυλάσσω^{vsaa2s} χωρίς^{bo} πρόκριμα^{ngns} μηδείς^{aansn} ποιέω^{vppanms} κατά^{p} πρόσκλισις^{nafs}. **v.22** χείρ^{nafp} ταχέως^{bo} μηδείς^{admsn} ἐπιτίθημι^{vdpa2s} μηδέ^{c} κοινωνέω^{vdpa2s} ἁμαρτία^{ndfp} ἀλλότριος^{adfpn} σεαυτοῦ^{rxams} ἁγνός^{aamsn} τηρέω^{vdpa2s}. **v.23** μηκέτι^{bo} ὑδροποτέω^{vdpa2s} ἀλλά^{c} οἶνος^{ndms} ὀλίγος^{admsn} χράομαι^{vdpn2s} διά^{p} ὁ^{dams} στόμαχος^{nams} σύ$^{rpg-s}$ καί^{c} ὁ^{dafp} πυκνός^{aafpn} σύ$^{rpg-s}$ ἀσθένεια^{nafp}. **v.24** τι-σρι-γμπ ἄνθρωπος^{ngmp} ὁ^{dnfp} ἁμαρτία^{nnfp} πρόδηλος^{anfpn} εἰμί^{vipx3p} προάγω^{vppanfp} εἰς^{p} κρίσις^{nafs} τι-σριδμπ δέ^{c} καί^{c} ἐπακολουθέω^{vipa3p}. **v.25** ὡσαύτως^{bo} καί^{c} ὁ^{dnnp} καλός^{annpn} ἔργον^{nnnp} πρόδηλος^{annpn} εἰμί^{vipx3s} καί^{c} ὁ^{dnnp} ἄλλως^{bo} ἔχω^{vppannp} κρύπτω^{vnap} οὐ^{xo} δύναμαι^{vipn3p}.

σης τιμῆς ἀξίους ἡγείσθωσαν ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ
2 ἡ διδασκαλία βλασφημῆται. οἱ δὲ πιστοὺς ἔχοντες δεσπό-
τας μὴ καταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν ἀλλὰ μᾶλλον
δουλευέτωσαν ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργε-
3 σίας ἀντιλαμβανόμενοι Ταῦτα δίδασκε καὶ παρακάλει. εἴ
τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσιν λό-
γοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ εὐ-
4 σέβειαν διδασκαλίᾳ. τετύφωται μηδὲν ἐπιστάμενος ἀλλὰ
νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας ἐξ ὧν γίνεται φθόνος
5 ἔρις βλασφημίαι ὑπόνοιαι πονηραί. διαπαρατριβαὶ διε-
φθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀ-
ληθείας νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν ἀφίστασο
6 ἀπὸ τῶν τοιούτων. ἔστιν δὲ πορισμὸς μέγας ἡ εὐσέβεια
7 μετὰ αὐταρκείας, οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον
8 δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα, ἔχοντες δὲ διατρο-
9 φὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα. οἱ δὲ βου-
λόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα
καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς αἵτινες βυ-
10 θίζουσιν τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν. ῥίζα
γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία ἧς τινες ὀρεγό-
μενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς περιέ-

---

6. **v.1** ὅσος^{rcnmp} εἰμί^{vipx3p} ὑπό^{p} ζυγός^{nams} δοῦλος^{nnmp} ὁ^{damp} ἴδιος^{aampn} δεσπότης^{namp} πᾶς^{agfsn} τιμή^{ngfs} ἄξιος^{aampn} ἡγέομαι^{vdpn3p} ἵνα^{c} μή^{xo} ὁ^{dnns} ὄνομα^{nnns} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dnfs} διδασκαλία^{nnfs} βλασφημέω^{vspp3s}. **v.2** ὁ^{dnmp} δέ^{c} πιστός^{aampn} ἔχω^{vppanmp} δεσπότης^{namp} μή^{xo} καταφρονέω^{vdpa3p} ὅτι^{c} ἀδελφός^{nnmp} εἰμί^{vipx3p} ἀλλά^{c} μᾶλλον^{bo} δουλεύω^{vdpa3p} ὅτι^{c} πιστός^{anfpn} εἰμί^{vipx3p} καί^{c} ἀγαπητός^{anmpn} ὁ^{dnmp} ὁ^{dgfs} εὐεργεσία^{ngfs} ἀντιλαμβάνομαι^{vppnnmp} οὗτος^{rdanp} διδάσκω^{vdpa2s} καί^{c} παρακαλέω^{vdpa2s}. **v.3** εἰ^{qo} τι-σρινμσ ἑτεροδιδασκαλέω^{vipa3s} καί^{c} μή^{xo} προσέρχομαι^{vipn3s} ὑγιαίνω^{vppadmp} λόγος^{ndmp} ὁ^{ddmp} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} καί^{c} ὁ^{ddfs} κατά^{p} εὐσέβεια^{nafs} διδασκαλία^{ndfs}. **v.4** τυφόω^{vixp3s} μηδείς^{aansn} ἐπίσταμαι^{vppnnms} ἀλλά^{c} νοσέω^{vppanms} περί^{p} ζήτησις^{nafp} καί^{c} λογομαχία^{nafp} ἐκ^{p} ὅς^{rrgfp} γίνομαι^{vipn3s} φθόνος^{nnms} ἔρις^{nnfs} βλασφημία^{nnfp} ὑπόνοια^{nnfp} πονηρός^{anfpn}. **v.5** διαπαρατριβή^{nnfp} διαφθείρω^{vpxpgmp} ἄνθρωπος^{ngmp} ὁ^{dams} νοῦς^{nams} καί^{c} ἀποστερέω^{vpxpgmp} ὁ^{dgfs} ἀλήθεια^{ngfs} νομίζω^{vppagmp} πορισμός^{nams} εἰμί^{vnpx} ὁ^{dafs} εὐσέβεια^{nafs} ἀφίστημι^{vdpn2s} ἀπό^{p} ὁ^{dgmp} τοιοῦτος^{rdgmp}. **v.6** εἰμί^{vipx3s} δέ^{c} πορισμός^{nnms} μέγας^{anmsn} ὁ^{dnfs} εὐσέβεια^{nnfs} μετά^{p} αὐτάρκεια^{ngfs}. **v.7** οὐδείς^{aansn} γάρ^{c} εἰσφέρω^{viaa1p} εἰς^{p} ὁ^{dams} κόσμος^{nams} δῆλος^{annsn} ὅτι^{c} οὐδέ^{bo} ἐκφέρω^{vnaa} τι-σριανσ δύναμαι^{vipn1p}. **v.8** ἔχω^{vppanmp} δέ^{c} διατροφή^{nafp} καί^{c} σκέπασμα^{nanp} οὗτος^{rddnp} ἀρκέω^{vifp1p}. **v.9** ὁ^{dnmp} δέ^{c} βούλομαι^{vppnnmp} πλουτέω^{vnpa} ἐμπίπτω^{vipa3p} εἰς^{p} πειρασμός^{nams} καί^{c} παγίς^{nafs} καί^{c} ἐπιθυμία^{nafp} πολύς^{aafpn} ἀνόητος^{aafpn} καί^{c} βλαβερός^{aafpn} ὅστις^{rrnfp} βυθίζω^{vipa3p} ὁ^{damp} ἄνθρωπος^{namp} εἰς^{p} ὄλεθρος^{nams} καί^{c} ἀπώλεια^{nafs}.

πειραν ὀδύναις πολλαῖς. Σὺ δέ ὦ ἄνθρωπε τοῦ θεοῦ ταῦτα 11
φεῦγε, δίωκε δὲ δικαιοσύνην εὐσέβειαν πίστιν ἀγάπην ὑπο-
μονήν πρᾳότητα. ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως 12
ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς εἰς ἣν ἐκλήθης καὶ ὡμολόγησας
τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. παραγ- 13
γέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ
Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου
τὴν καλὴν ὁμολογίαν. τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον 14
ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ. ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος 15
δυνάστης ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυ-
ριευόντων. ὁ μόνος ἔχων ἀθανασίαν φῶς οἰκῶν ἀπρόσιτον 16
ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ
κράτος αἰώνιον ἀμήν. Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι πα- 17
ράγγελλε μὴ ὑψηλοφρονεῖν μηδὲ ἠλπικέναι ἐπὶ πλούτου
ἀδηλότητι ἀλλ ἐν τῷ θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα
πλουσίως εἰς ἀπόλαυσιν. ἀγαθοεργεῖν πλουτεῖν ἐν ἔργοις 18
καλοῖς εὐμεταδότους εἶναι κοινωνικούς. ἀποθησαυρίζον- 19
τας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον ἵνα ἐπιλάβωνται

---

v.10 ῥίζα^{nnfs} γάρ^{c} πᾶς^{agnpn} ὁ^{dgnp} κακός^{agnpn} εἰμί^{vipx3s} ὁ^{dnfs} φιλαργυρία^{nnfs} ὅς^{rrgfs} τι-σ-
ρινμπ ὀρέγω^{vppmnmp} ἀποπλανάω^{viap3p} ἀπό^{p} ὁ^{dgfs} πίστις^{ngfs} καί^{c} ἑαυτοῦ^{rxamp} περιπείρω^{viaa3p}
ὀδύνη^{ndfp} πολύς^{adfpn}. **v.11** σύ$^{rpn-s}$ δέ^{c} ὦ^{i} ἄνθρωπος^{nvms} ὁ^{dgms} θεός^{ngms} οὗτος^{rdanp}
φεύγω^{vdpa2s} διώκω^{vdpa2s} δέ^{c} δικαιοσύνη^{nafs} εὐσέβεια^{nafs} πίστις^{nafs} ἀγάπη^{nafs} ὑπομονή^{nafs}
πραΰτης^{nafs}. **v.12** ἀγωνίζομαι^{vdpn2s} ὁ^{dams} καλός^{aamsn} ἀγών^{nams} ὁ^{dgfs} πίστις^{ngfs}
ἐπιλαμβάνομαι^{vdad2s} ὁ^{dgfs} αἰώνιος^{agfsn} ζωή^{ngfs} εἰς^{p} ὅς^{rrafs} καλέω^{viap2s} καί^{c} ὁμολογέω^{viaa2s}
ὁ^{dafs} καλός^{aafsn} ὁμολογία^{nafs} ἐνώπιον^{bo} πολύς^{agmpn} μάρτυς^{ngmp}. **v.13** παραγγέλλω^{vipa1s}
σύ$^{rpd-s}$ ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} ὁ^{dgms} ζῳοποιέω^{vppagms} ὁ^{danp} πᾶς^{aanpn} καί^{c} Χριστός^{ngms}
Ἰησοῦς^{ngms} ὁ^{dgms} μαρτυρέω^{vpaagms} ἐπί^{p} Πόντιος^{ngms} Πιλᾶτος^{ngms} ὁ^{dafs} καλός^{aafsn}
ὁμολογία^{nafs}. **v.14** τηρέω^{vnaa} σύ$^{rpa-s}$ ὁ^{dafs} ἐντολή^{nafs} ἄσπιλος^{aafsn} ἀνεπίλημπτος^{aafsn}
μέχρι^{bo} ὁ^{dgfs} ἐπιφάνεια^{ngfs} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms}. **v.15** ὅς^{rrafs}
καιρός^{ndmp} ἴδιος^{admpn} δείκνυμι^{vifa3s} ὁ^{dnms} μακάριος^{anmsn} καί^{c} μόνος^{anmsn} δυνάστης^{nnms}
ὁ^{dnms} βασιλεύς^{nnms} ὁ^{dgmp} βασιλεύω^{vppagmp} καί^{c} κύριος^{nnms} ὁ^{dgmp} κυριεύω^{vppagmp}.
v.16 ὁ^{dnms} μόνος^{anmsn} ἔχω^{vppanms} ἀθανασία^{nafs} φῶς^{nans} οἰκέω^{vppanms} ἀπρόσιτος^{aansn} ὅς^{rrams}
ὁράω^{viaa3s} οὐδείς^{anfsn} ἄνθρωπος^{ngmp} οὐδέ^{bo} ὁράω^{vnaa} δύναμαι^{vipn3s} ὅς^{rrdms} τιμή^{nnfs} καί^{c}
κράτος^{nnns} αἰώνιος^{annsn} ἀμήνth. **v.17** ὁ^{ddmp} πλούσιος^{admpn} ἐν^{p} ὁ^{ddms} νῦν^{bo} αἰών^{ndms}
παραγγέλλω^{vdpa2s} μή^{xo} ὑψηλοφρονέω^{vnpa} μηδέ^{c} ἐλπίζω^{vnxa} ἐπί^{p} πλοῦτος^{ngms} ἀδηλότης^{ndfs}
ἀλλά^{c} ἐν^{p} ὁ^{ddms} θεός^{ndms} ὁ^{ddms} ζάω^{vppadms} ὁ^{ddms} παρέχω^{vppadms} ἐγώ$^{rpd-p}$ πᾶς^{aanpn}
πλουσίως^{bo} εἰς^{p} ἀπόλαυσις^{nafs}. **v.18** ἀγαθοεργέω^{vnpa} πλουτέω^{vnpa} ἐν^{p} ἔργον^{ndnp} καλός^{adnpn}
εὐμετάδοτος^{aampn} εἰμί^{vnpx} κοινωνικός^{aampn}.

20 τῆς αἰωνιόυ ζωῆς. ⸀Ω Τιμόθεε τὴν παραθήκην φύλαξον
ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς
21 ψευδωνύμου γνώσεως. ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν
πίστιν ἠστόχησαν ⸀Η χάρις μετὰ σοῦ. ἀμήν.

v.19 ἀποθησαυρίζω^{vppaamp} ἑαυτοῦ^{rxdmp} θεμέλιος^{nams} καλός^{aamsn} εἰς^{p} ὁ^{dans} μέλλω^{vppaans} ἵνα^{c} ἐπιλαμβάνομαι^{vsad3p} ὁ^{dgfs} αἰώνιος^{agfsn} ζωή^{ngfs}. **v.20** ⸀ὦ^{i} Τιμόθεος^{nvms} ὁ^{dafs} παραθήκη^{nafs} φυλάσσω^{vdaa2s} ἐκτρέπω^{vppmnms} ὁ^{dafp} βέβηλος^{aafpn} κενοφωνία^{nafp} καὶ^{c} ἀντίθεσις^{nafp} ὁ^{dgfs} ψευδώνυμος^{agfsn} γνῶσις^{ngfs}. **v.21** ὅς^{rrafs} τι-σρινμπ ἐπαγγέλλομαι^{vppnnmp} περί^{p} ὁ^{dafs} πίστις^{nafs} ἀστοχέω^{viaa3p} ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} σύ$^{rpg-s}$ ἀμήνth.

Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ

Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θε- **1**
οῦ κατ ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ. Τιμοθέῳ 2
ἀγαπητῷ τέκνῳ χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ
Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. Χάριν ἔχω τῷ θεῷ ᾧ λα- 3
τρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει ὡς ἀδιάλειπτον
ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσίν μου νυκτὸς καὶ
ἡμέρας. ἐπιποθῶν σε ἰδεῖν μεμνημένος σου τῶν δακρύων 4
ἵνα χαρᾶς πληρωθῶ. ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀν- 5
υποκρίτου πίστεως ἥτις ἐνῴκησεν πρῶτον ἐν τῇ μάμμῃ σου
Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί.
δι' ἣν αἰτίαν ἀναμιμνῄσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ 6
θεοῦ ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. οὐ 7
γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας ἀλλὰ δυνάμεως
καὶ ἀγάπης καὶ σωφρονισμοῦ. μὴ οὖν ἐπαισχυνθῇς τὸ 8
μαρτύριον τοῦ κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ
ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ.
τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ οὐ κα- 9
τὰ τὰ ἔργα ἡμῶν ἀλλὰ κα᾽ ἰδίαν πρόθεσιν καὶ χάριν τὴν

---

1. v.1 Παῦλος^{nnms} ἀπόστολος^{nnms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} διά^{p} θέλημα^{ngns} θεός^{ngms} κατά^{p} ἐπαγγελία^{nafs} ζωή^{ngfs} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.2** Τιμόθεος^{ndms} ἀγαπητός^{admsn} τέκνον^{ndns} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} Χριστός^{ngms} Ἰησοῦς^{ngms} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$. **v.3** χάρις^{nafs} ἔχω^{vipa1s} ὁ^{ddms} θεός^{ndms} ὅς^{rrdms} λατρεύω^{vipa1s} ἀπό^{p} πρόγονος^{ngmp} ἐν^{p} καθαρός^{adfsn} συνείδησις^{ndfs} ὡς^{bo} ἀδιάλειπτος^{aafsn} ἔχω^{vipa1s} ὁ^{dafs} περί^{p} σύ$^{rpg-s}$ μνεία^{nafs} ἐν^{p} ὁ^{ddfp} δέησις^{ndfp} ἐγώ$^{rpg-s}$ νύξ^{ngfs} καί^{c} ἡμέρα^{ngfs}. **v.4** ἐπιποθέω^{vppanms} σύ$^{rpa-s}$ ὁράω^{vnaa} μιμνῄσκομαι^{vpxpnms} σύ$^{rpg-s}$ ὁ^{dgnp} δάκρυον^{ngnp} ἵνα^{c} χαρά^{ngfs} πληρόω^{vsap1s}. **v.5** ὑπόμνησις^{nafs} λαμβάνω^{vppanms} ὁ^{dgfs} ἐν^{p} σύ$^{rpd-s}$ ἀνυπόκριτος^{agfsn} πίστις^{ngfs} ὅστις^{rrnfs} ἐνοικέω^{viaa3s} πρῶτος^{bo} ἐν^{p} ὁ^{ddfs} μάμμη^{ndfs} σύ$^{rpg-s}$ Λωΐς^{ndms} καί^{c} ὁ^{ddfs} μήτηρ^{ndfs} σύ$^{rpg-s}$ Εὐνίκη^{ndfs} πείθω^{vixp1s} δέ^{c} ὅτι^{c} καί^{c} ἐν^{p} σύ$^{rpd-s}$. **v.6** διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἀναμιμνῄσκω^{vipa1s} σύ$^{rpa-s}$ ἀναζωπυρέω^{vnpa} ὁ^{dans} χάρισμα^{nans} ὁ^{dgms} θεός^{ngms} ὅς^{rrnns} εἰμί^{vipx3s} ἐν^{p} σύ$^{rpd-s}$ διά^{p} ὁ^{dgfs} ἐπίθεσις^{ngfs} ὁ^{dgfp} χείρ^{ngfp} ἐγώ$^{rpg-s}$. **v.7** οὐ^{xo} γάρ^{c} δίδωμι^{viaa3s} ἐγώ$^{rpd-p}$ ὁ^{dnms} θεός^{nnms} πνεῦμα^{nans} δειλία^{ngfs} ἀλλά^{c} δύναμις^{ngfs} καί^{c} ἀγάπη^{ngfs} καί^{c} σωφρονισμός^{ngms}. **v.8** μή^{xo} οὖν^{c} ἐπαισχύνομαι^{vsao2s} ὁ^{dans} μαρτύριον^{nans} ὁ^{dgms} κύριος^{ngms} ἐγώ$^{rpg-p}$ μηδέ^{c} ἐγώ$^{rpa-s}$ ὁ^{dams} δέσμιος^{nams} αὐτός^{rpgms} ἀλλά^{c} συγκακοπαθέω^{vdaa2s} ὁ^{ddns} εὐαγγέλιον^{ndns} κατά^{p} δύναμις^{nafs} θεός^{ngms}.

10 δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων. φα-
νερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ καταργήσαντος μὲν τὸν θάνατον φωτίσαντος
11 δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου. εἰς ὃ ἐτέθην
12 ἐγὼ κῆρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν. δι' ἣν
αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ οὐκ ἐπαισχύνομαι οἶδα γὰρ
ᾧ πεπίστευκα καὶ πέπεισμαι ὅτι δυνατός ἐστιν τὴν παρα-
13 θήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. ὑποτύπωσιν
ἔχε ὑγιαινόντων λόγων ὧν παρ ἐμοῦ ἤκουσας ἐν πίστει καὶ
14 ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ, τὴν καλὴν παραθήκην φύλα-
15 ξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. Οἶδας
τοῦτο ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ ὧν ἐστιν
16 Φύγελος καὶ Ἑρμογένης. δῴη ἔλεος ὁ κύριος τῷ Ὀνη-
σιφόρου οἴκῳ ὅτι πολλάκις με ἀνέψυξεν καὶ τὴν ἅλυσίν
17 μου οὐκ ἐπαισχύνθη. ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαι-
18 ότερον ἐζήτησέν με καὶ εὗρεν, δῴη αὐτῷ ὁ κύριος εὑρεῖν
ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ὅσα ἐν Ἐφέσῳ
διηκόνησεν βέλτιον σὺ γινώσκεις.

2 Σὺ οὖν τέκνον μου ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χρι-
2 στῷ Ἰησοῦ. καὶ ἃ ἤκουσας παρ ἐμοῦ διὰ πολλῶν μαρ-

---

v.9 ὁ^{dgms} σῴζω^{vpaagms} ἐγώ$^{rpa-p}$ καί^{c} καλέω^{vpaagms} κλῆσις^{ndfs} ἅγιος^{adfsn} οὐ^{xo} κατά^{p} ὁ^{danp} ἔργον^{nanp} ἐγώ$^{rpg-p}$ ἀλλά^{c} κατά^{p} ἴδιος^{aafsn} πρόθεσις^{nafs} καί^{c} χάρις^{nafs} ὁ^{dafs} δίδωμι^{vpapafs} ἐγώ$^{rpd-p}$ ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} πρό^{p} χρόνος^{ngmp} αἰώνιος^{agmpn}. **v.10** φανερόω^{vpapafs} δέ^{c} νῦν^{bo} διά^{p} ὁ^{dgfs} ἐπιφάνεια^{ngfs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ Ἰησοῦς^{ngms} Χριστός^{ngms} καταργέω^{vpaagms} μέν^{xo} ὁ^{dams} θάνατος^{nams} φωτίζω^{vpaagms} δέ^{c} ζωή^{nafs} καί^{c} ἀφθαρσία^{nafs} διά^{p} ὁ^{dgns} εὐαγγέλιον^{ngns}. **v.11** εἰς^{p} ὅς^{rrans} τίθημι^{viap1s} ἐγώ$^{rpn-s}$ κῆρυξ^{nnms} καί^{c} ἀπόστολος^{nnms} καί^{c} διδάσκαλος^{nnms} ἔθνος^{ngnp}. **v.12** διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} καί^{c} οὗτος^{rdanp} πάσχω^{vipa1s} ἀλλά^{c} οὐ^{xo} ἐπαισχύνομαι^{vipn1s} οἶδα^{vixa1s} γάρ^{c} ὅς^{rrdms} πιστεύω^{vixa1s} καί^{c} πείθω^{vixp1s} ὅτι^{c} δυνατός^{anmsn} εἰμί^{vipx3s} ὁ^{dafs} παραθήκη^{nafs} ἐγώ$^{rpg-s}$ φυλάσσω^{vnaa} εἰς^{p} ἐκεῖνος^{rdafs} ὁ^{dafs} ἡμέρα^{nafs}. **v.13** ὑποτύπωσις^{nafs} ἔχω^{vdpa2s} ὑγιαίνω^{vppagmp} λόγος^{ngmp} ὅς^{rrgmp} παρά^{p} ἐγώ$^{rpg-s}$ ἀκούω^{viaa2s} ἐν^{p} πίστις^{ndfs} καί^{c} ἀγάπη^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.14** ὁ^{dafs} καλός^{aafsn} παραθήκη^{nafs} φυλάσσω^{vdaa2s} διά^{p} πνεῦμα^{ngns} ἅγιος^{agnsn} ὁ^{dgns} ἐνοικέω^{vppagns} ἐν^{p} ἐγώ$^{rpd-p}$. **v.15** οἶδα^{vixa2s} οὗτος^{rdans} ὅτι^{c} ἀποστρέφω^{viap3p} ἐγώ$^{rpa-s}$ πᾶς^{anmpn} ὁ^{dnmp} ἐν^{p} ὁ^{ddfs} Ἀσία^{ndfs} ὅς^{rrgmp} εἰμί^{vipx3s} Φύγελος^{nnms} καί^{c} Ἑρμογένης^{nnms}. **v.16** δίδωμι^{voaa3s} ἔλεος^{nans} ὁ^{dnms} κύριος^{nnms} ὁ^{ddms} Ὀνησίφορος^{ngms} οἶκος^{ndms} ὅτι^{c} πολλάκις^{bo} ἐγώ$^{rpa-s}$ ἀναψύχω^{viaa3s} καί^{c} ὁ^{dafs} ἅλυσις^{nafs} ἐγώ$^{rpg-s}$ οὐ^{xo} ἐπαισχύνομαι^{viao3s}. **v.17** ἀλλά^{c} γίνομαι^{vpadnms} ἐν^{p} Ῥώμη^{ndfs} σπουδαῖος^{aamsc} ζητέω^{viaa3s} ἐγώ$^{rpa-s}$ καί^{c} εὑρίσκω^{viaa3s}. **v.18** δίδωμι^{voaa3s} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnms} εὑρίσκω^{vnaa} ἔλεος^{nans} παρά^{p} κύριος^{ngms} ἐν^{p} ἐκεῖνος^{rddfs} ὁ^{ddfs} ἡμέρα^{ndfs} καί^{c} ὅσος^{rcanp} ἐν^{p} Ἔφεσος^{ndfs} διακονέω^{viaa3s} βελτίων^{bo} σύ$^{rpn-s}$ γινώσκω^{vipa2s}. **2. v.1** σύ$^{rpn-s}$ οὖν^{c} τέκνον^{nvns} ἐγώ$^{rpg-s}$ ἐνδυναμόω^{vdpp2s} ἐν^{p} ὁ^{ddfs} χάρις^{ndfs} ὁ^{ddfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}.

τύρων ταῦτα παράθου πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔ- σονται καὶ ἑτέρους διδάξαι. σὺ οὖν κακοπάθησον, ὡς 3
καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. οὐδεὶς στρατευόμενος 4
ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις ἵνα τῷ στρατολο- γήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις οὐ στεφανοῦται ἐὰν 5
μὴ νομίμως ἀθλήσῃ. τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον 6
τῶν καρπῶν μεταλαμβάνειν. νόει α λέγω, δῴη γάρ σοι 7
ὁ κύριος σύνεσιν ἐν πᾶσιν. Μνημόνευε Ἰησοῦν Χριστὸν 8
ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυίδ κατὰ τὸ εὐαγ- γέλιόν μου. ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος 9
ἀλλ᾽ ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται, διὰ τοῦτο πάντα ὑπο- 10
μένω διὰ τοὺς ἐκλεκτούς ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν
τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου. πιστὸς ὁ λό- 11
γος, εἰ γὰρ συναπεθάνομεν καὶ συζήσομεν, εἰ ὑπομένομεν 12
καὶ συμβασιλεύσομεν, εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται
ἡμᾶς, εἰ ἀπιστοῦμεν ἐκεῖνος πιστὸς μένει ἀρνήσασθαι ἑ- 13
αυτὸν οὐ δύναται. Ταῦτα ὑπομίμνῃσκε διαμαρτυρόμενος 14
ἐνώπιον τοῦ Κυρίοῦ μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ
καταστροφῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν δόκιμον 15
παραστῆσαι τῷ θεῷ ἐργάτην ἀνεπαίσχυντον ὀρθοτομοῦντα

---

v.2 καί[c] ὅς[rranp] ἀκούω[viaa2s] παρά[p] ἐγώ[rpg-s] διά[p] πολύς[agmpn] μάρτυς[ngmp] οὗτος[rdanp] παρατίθημι[viam2s] πιστός[admpn] ἄνθρωπος[ndmp] ὅστις[rrnmp] ἱκανός[anmpn] εἰμί[vifx3p] καί[c] ἕτερος[aampn] διδάσκω[vnaa]. **v.3** σύ[rpn-s] οὖν[c] κακοπαθέω[vdaa2s] ὡς[bo] καλός[anmsn] στρατιώτης[nnms] Ἰησοῦς[ngms] Χριστός[ngms]. **v.4** οὐδείς[anfsn] στρατεύω[vppmnms] ἐμπλέκω[vipp3s] ὁ[ddfp] ὁ[dgms] βίος[ngms] πραγματεία[ndfp] ἵνα[c] ὁ[ddms] στρατολογέω[vpaadms] ἀρέσκω[vsaa3s]. **v.5** ἐάν[qo] δέ[c] καί[c] ἀθλέω[vspa3s] τι-σρινμσ οὐ[xo] στεφανόω[vipp3s] ἐάν[qo] μή[xo] νομίμως[bo] ἀθλέω[vsaa3s]. **v.6** ὁ[dams] κοπιάω[vppaams] γεωργός[nams] δεῖ[vipq3s] πρῶτος[aamsn] ὁ[dgmp] κάρπος[ngmp] μεταλαμβάνω[vnpa]. **v.7** νοέω[vdpa2s] ὅς[rranp] λέγω[vipa1s] δίδωμι[voaa3s] γάρ[c] σύ[rpd-s] ὅς[dnms] κύριος[nnms] σύνεσις[nafs] ἐν[p] πᾶς[adnpn]. **v.8** μνημονεύω[vdpa2s] Ἰησοῦς[nams] Χριστός[nams] ἐγείρω[vpxpams] ἐκ[p] νεκρός[agmpn] ἐκ[p] σπέρμα[ngns] Δαυίδ[tp] κατά[p] ὁ[dans] εὐαγγέλιον[nans] ἐγώ[rpg-s]. **v.9** ἐν[p] ὅς[rrdns] κακοπαθέω[vipa1s] μέχρι[bo] δεσμός[ngmp] ὡς[bo] κακοῦργος[anmsn] ἀλλά[c] ὁ[dnms] λόγος[nnms] ὁ[dgms] θεός[ngms] οὐ[xo] δέω[vixp3s]. **v.10** διά[p] οὗτος[rdans] πᾶς[aanpn] ὑπομένω[vipa1s] διά[p] ὁ[damp] ἐκλεκτός[aampn] ἵνα[c] καί[c] αὐτός[rpnmp] σωτηρία[ngfs] τυγχάνω[vsaa3p] ὁ[dgfs] ἐν[p] Χριστός[ndms] Ἰησοῦς[ndms] μετά[p] δόξα[ngfs] αἰώνιος[agfsn]. **v.11** πιστός[anmsn] ὁ[dnms] λόγος[nnms] εἰ[qo] γάρ[c] συναποθνῄσκω[viaa1p] καί[c] συζάω[vifa1p]. **v.12** εἰ[qo] ὑπομένω[vipa1p] καί[c] συμβασιλεύω[vifa1p] εἰ[qo] ἀρνέομαι[vipn1p] κἀκεῖνος[rdnms] ἀρνέομαι[vifd3s] ἐγώ[rpa-p]. **v.13** εἰ[qo] ἀπιστέω[vipa1p] ἐκεῖνος[rdnms] πιστός[anmsn] μένω[vipa3s] ἀρνέομαι[vnad] ἑαυτοῦ[rxams] οὐ[xo] δύναμαι[vipn3s]. **v.14** οὗτος[rdanp] ὑπομιμνῄσκω[vdpa2s] διαμαρτύρομαι[vppnnms] ἐνώπιον[bo] ὁ[dgms] κύριος[ngms] μή[xo] λογομαχέω[vnpa] εἰς[p] οὐδείς[aansn] χρήσιμος[aansn] ἐπί[p] καταστροφή[ndfs] ὁ[dgmp] ἀκούω[vppagmp].

16 τὸν λόγον τῆς ἀληθείας. τὰς δὲ βεβήλους κενοφωνίας πε-
17 ριΐστασο, ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας. καὶ ὁ
λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει ὧν ἐστιν Ὑμέναιος
18 καὶ Φίλητος. οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν λέ-
γοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι καὶ ἀνατρέπουσιν τήν
19 τινων πίστιν. ὁ μέντοι στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν
ἔχων τὴν σφραγῖδα ταύτην, Ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ
καί Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα κυ-
20 ρίου. Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ
καὶ ἀργυρᾶ ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα καὶ ἃ μὲν εἰς
21 τιμὴν ἃ δὲ εἰς ἀτιμίαν, ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ
τούτων ἔσται σκεῦος εἰς τιμήν ἡγιασμένον καὶ εὔχρηστον
22 τῷ δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. τὰς δὲ
νεωτερικὰς ἐπιθυμίας φεῦγε δίωκε δὲ δικαιοσύνην πίστιν
ἀγάπην εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν κύριον ἐκ κα-
23 θαρᾶς καρδίας. τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις
24 παραιτοῦ εἰδὼς ὅτι γεννῶσιν μάχας, δοῦλον δὲ κυρίου οὐ
δεῖ μάχεσθαι ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας διδακτικόν ἀνε-
25 ξίκακον. ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους

---

v.15 σπουδάζω^{vdaa2s} σεαυτοῦ^{rxams} δόκιμος^{aamsn} παρίστημι^{vnaa} ὁ^{ddms} θεός^{ndms} ἐργάτης^{nams} ἀνεπαίσχυντος^{aamsn} ὀρθοτομέω^{vppaams} ὁ^{dams} λόγος^{nams} ὁ^{dgfs} ἀλήθεια^{ngfs}. **v.16** ὁ^{dafp} δέ^{c} βέβηλος^{aafpn} κενοφωνία^{nafp} περιΐστημι^{vdpm2s} ἐπί^{p} πολύς^{aansc} γάρ^{c} προκόπτω^{vifa3p} ἀσέβεια^{ngfs}. **v.17** καί^{c} ὁ^{dnms} λόγος^{nnms} αὐτός^{rpgmp} ὡς^{bo} γάγγραινα^{nnfs} νομή^{nafs} ἔχω^{vifa3s} ὅς^{rrgmp} εἰμί^{vipx3s} Ὑμέναιος^{nnms} καί^{c} Φίλητος^{nnms}. **v.18** ὅστις^{rrnmp} περί^{p} ὁ^{dafs} ἀλήθεια^{nafs} ἀστοχέω^{viaa3p} λέγω^{vppanmp} ὁ^{dafs} ἀνάστασις^{nafs} ἤδη^{bo} γίνομαι^{vnxa} καί^{c} ἀνατρέπω^{vipa3p} ὁ^{dafs} τι-σριγμπ πίστις^{nafs}. **v.19** ὁ^{dnms} μέντοι^{c} στερεός^{anmsn} θεμέλιος^{nnms} ὁ^{dgms} θεός^{ngms} ἵστημι^{vixa3s} ἔχω^{vppanms} ὁ^{dafs} σφραγίς^{nafs} οὗτος^{rdafs} γινώσκω^{viaa3s} κύριος^{nnms} ὁ^{damp} εἰμί^{vppxamp} αὐτός^{rpgms} καί^{c} ἀφίστημι^{vdaa3s} ἀπό^{p} ἀδικία^{ngfs} πᾶς^{anmsn} ὁ^{dnms} ὀνομάζω^{vppanms} ὁ^{dans} ὄνομα^{nans} κύριος^{ngms}. **v.20** ἐν^{p} μέγας^{adfsn} δέ^{c} οἰκία^{ndfs} οὐ^{xo} εἰμί^{vipx3s} μόνος^{bo} σκεῦος^{nnnp} χρυσοῦς^{annpn} καί^{c} ἀργυροῦς^{annpn} ἀλλά^{c} καί^{c} ξύλινος^{annpn} καί^{c} ὀστράκινος^{annpn} καί^{c} ὅς^{rrnnp} μέν^{xo} εἰς^{p} τιμή^{nafs} ὅς^{rrnnp} δέ^{c} εἰς^{p} ἀτιμία^{nafs}. **v.21** ἐάν^{qo} οὖν^{c} τι-σ-ρινμσ ἐκκαθαίρω^{vsaa3s} ἑαυτοῦ^{rxams} ἀπό^{p} οὗτος^{rdgnp} εἰμί^{vifx3s} σκεῦος^{nnns} εἰς^{p} τιμή^{nafs} ἁγιάζω^{vpxpnns} καί^{c} εὔχρηστος^{annsn} ὁ^{ddms} δεσπότης^{ndms} εἰς^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἑτοιμάζω^{vpxpnns}. **v.22** ὁ^{dafp} δέ^{c} νεωτερικός^{aafpn} ἐπιθυμία^{nafp} φεύγω^{vdpa2s} διώκω^{vdpa2s} δέ^{c} δικαιοσύνη^{nafs} πίστις^{nafs} ἀγάπη^{nafs} εἰρήνη^{nafs} μετά^{p} ὁ^{dgmp} ἐπικαλέω^{vppmgmp} ὁ^{dams} κύριος^{nams} ἐκ^{p} καθαρός^{agfsn} καρδία^{ngfs}. **v.23** ὁ^{dafp} δέ^{c} μωρός^{aafpn} καί^{c} ἀπαίδευτος^{aafpn} ζήτησις^{nafp} παραιτέομαι^{vdpn2s} οἶδα^{vpxanms} ὅτι^{c} γεννάω^{vipa3p} μάχη^{nafp}. **v.24** δοῦλος^{nams} δέ^{c} κύριος^{ngms} οὐ^{xo} δεῖ^{vipq3s} μάχομαι^{vnpn} ἀλλά^{c} ἤπιος^{aamsn} εἰμί^{vnpx} πρός^{p} πᾶς^{aampn} διδακτικός^{aamsn} ἀνεξίκακος^{aamsn}.

μήποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας.
καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος ἐζωγρημένοι 26
ὑπ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

Τοῦτο δὲ γίνωσκε ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται **3**
καιροὶ χαλεποί, ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι φιλάρ- 2
γυροι ἀλαζόνες ὑπερήφανοι βλάσφημοι γονεῦσιν ἀπειθεῖς
ἀχάριστοι ἀνόσιοι. ἄστοργοι ἄσπονδοι διάβολοι ἀκρατεῖς 3
ἀνήμεροι ἀφιλάγαθοι. προδόται προπετεῖς τετυφωμένοι 4
φιλήδονοι μᾶλλον ἢ φιλόθεοι. ἔχοντες μόρφωσιν εὐσε- 5
βείας τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι, καὶ τούτους ἀπο-
τρέπου. ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας 6
καὶ αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις
ἀγόμενα ἐπιθυμίαις ποικίλαις. πάντοτε μανθάνοντα καὶ 7
μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. ὃν 8
τρόπον δὲ Ἰάννης καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ οὕτως
καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ ἄνθρωποι κατεφθαρμένοι
τὸν νοῦν ἀδόκιμοι περὶ τὴν πίστιν, ἀλλ οὐ προκόψουσιν 9
ἐπὶ πλεῖον, ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν ὡς καὶ
ἡ ἐκείνων ἐγένετο. Σὺ δὲ παρηκολούθηκάς μου τῇ δι- 10
δασκαλίᾳ τῇ ἀγωγῇ τῇ προθέσει τῇ πίστει τῇ μακροθυμίᾳ

---

v.25 ἐν^{p} πραΰτης^{ndfs} παιδεύω^{vppaams} ὁ^{damp} ἀντιδιατίθημι^{vppmamp} μήποτε^{bo} δίδωμι^{vsaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} θεός^{nnms} μετάνοια^{nafs} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs}. **v.26** καί^{c} ἀνανήφω^{vsaa3p} ἐκ^{p} ὁ^{dgfs} ὁ^{dgms} διάβολος^{agmsn} παγίς^{ngfs} ζωγρέω^{vpxpnmp} ὑπό^{p} αὐτός^{rpgms} εἰς^{p} ὁ^{dans} ἐκεῖνος^{rdgms} θέλημα^{nans}. **3. v.1** οὗτος^{rdans} δέ^{c} γινώσκω^{vdpa2s} ὅτι^{c} ἐν^{p} ἔσχατος^{adfpn} ἡμέρα^{ndfp} ἐνίστημι^{vifd3p} καιρός^{nnmp} χαλεπός^{anmpn}. **v.2** εἰμί^{vifx3p} γάρ^{c} ὁ^{dnmp} ἄνθρωπος^{nnmp} φίλαυτος^{anmpn} φιλάργυρος^{anmpn} ἀλαζών^{nnmp} ὑπερήφανος^{anmpn} βλάσφημος^{anmpn} γονεύς^{ndmp} ἀπειθής^{anmpn} ἀχάριστος^{anmpn} ἀνόσιος^{anmpn}. **v.3** ἄστοργος^{anmpn} ἄσπονδος^{anmpn} διάβολος^{anmpn} ἀκρατής^{anmpn} ἀνήμερος^{anmpn} ἀφιλάγαθος^{anmpn}. **v.4** προδότης^{nnmp} προπετής^{anmpn} τυφόω^{vpxpnmp} φιλήδονος^{anmpn} μᾶλλον^{bo} ἤ^{xo} φιλόθεος^{anmpn}. **v.5** ἔχω^{vppanmp} μόρφωσις^{nafs} εὐσέβεια^{ngfs} ὁ^{dafs} δέ^{c} δύναμις^{nafs} αὐτός^{rpgfs} ἀρνέομαι^{vpxnnmp} καί^{c} οὗτος^{rdamp} ἀποτρέπω^{vdpm2s}. **v.6** ἐκ^{p} οὗτος^{rdgmp} γάρ^{c} εἰμί^{vipx3p} ὁ^{dnmp} ἐνδύνω^{vppanmp} εἰς^{p} ὁ^{dafp} οἰκία^{nafp} καί^{c} αἰχμαλωτεύω^{vppanmp} γυναικάριον^{nanp} σωρεύω^{vpxpanp} ἁμαρτία^{ndfp} ἄγω^{vpppanp} ἐπιθυμία^{ndfp} ποικίλος^{adfpn}. **v.7** πάντοτε^{bo} μανθάνω^{vppaanp} καί^{c} μηδέποτε^{bo} εἰς^{p} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ἔρχομαι^{vnaa} δύναμαι^{vppnanp}. **v.8** ὅς^{rrams} τρόπος^{nams} δέ^{c} Ἰάννης^{nnms} καί^{c} Ἰαμβρῆς^{nnms} ἀνθίστημι^{viaa3p} Μωϋσῆς^{ndms} οὕτω^{bo} καί^{c} οὗτος^{rdnmp} ἀνθίστημι^{vipm3p} ὁ^{ddfs} ἀλήθεια^{ndfs} ἄνθρωπος^{nnmp} καταφθείρω^{vpxpnmp} ὁ^{dams} νοῦς^{nams} ἀδόκιμος^{anmpn} περί^{p} ὁ^{dafs} πίστις^{nafs}. **v.9** ἀλλά^{c} οὐ^{xo} προκόπτω^{vifa3p} ἐπί^{p} πολύς^{aansc} ὁ^{dnfs} γάρ^{c} ἄνοια^{nnfs} αὐτός^{rpgmp} ἔκδηλος^{anmsn} εἰμί^{vifx3s} πᾶς^{admpn} ὡς^{bo} καί^{c} ὁ^{dnfs} ἐκεῖνος^{rdgmp} γίνομαι^{viad3s}.

11 τῇ ἀγάπῃ τῇ ὑπομονῇ. τοῖς διωγμοῖς τοῖς παθήμασιν οἵά
μοι ἐγένετο ἐν Ἀντιοχείᾳ ἐν Ἰκονίῳ ἐν Λύστροις οἵους δι-
ωγμοὺς ὑπήνεγκα καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος.
12 καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ
13 διωχθήσονται. πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκό-
14 ψουσιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ πλανώμενοι. σὺ δὲ
μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης εἰδὼς παρὰ τίνος ἔμαθες.
15 καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά
σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.
16 πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν
πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν πρὸς παιδείαν τὴν ἐν δι-
17 καιοσύνῃ. ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος πρὸς πᾶν
ἔργον ἀγαθὸν ἐξηρτισμένος.

4 Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ κυ-
ρίου Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νε-
κρούς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ,
2 κήρυξον τὸν λόγον ἐπίστηθι εὐκαίρως ἀκαίρως ἔλεγξον ἐ-
πιτίμησον παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.
3 ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀ-
νέξονται ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισω-

---

v.10 σύ$^{rpn\text{-}s}$ δέ^{c} παρακολουθέω^{vixa2s} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ἀγωγή^{ndfs} ὁ^{ddfs} πρόθεσις^{ndfs} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} μακροθυμία^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.11** ὁ^{ddmp} διωγμός^{ndmp} ὁ^{ddnp} πάθημα^{ndnp} οἷος^{rrnnp} ἐγώ$^{rpd\text{-}s}$ γίνομαι^{viad3s} ἐν^{p} Ἀντιόχεια^{ndfs} ἐν^{p} Ἰκόνιον^{ndns} ἐν^{p} Λύστρα^{ndnp} οἷος^{rcanp} διωγμός^{namp} ὑποφέρω^{viaa1s} καί^{c} ἐκ^{p} πᾶς^{agmpn} ἐγώ$^{rpa\text{-}s}$ ῥύομαι^{vian3s} ὁ^{dnms} κύριος^{nnms}. **v.12** καί^{c} πᾶς^{anmpn} δέ^{c} ὁ^{dnmp} θέλω^{vppanmp} εὐσεβῶς^{bo} ζάω^{vnpa} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms} διώκω^{vifp3p}. **v.13** πονηρός^{anmpn} δέ^{c} ἄνθρωπος^{nnmp} καί^{c} γόης^{nnmp} προκόπτω^{vifa3p} ἐπί^{p} ὁ^{dans} χείρων^{aansn} πλανάω^{vppanmp} καί^{c} πλανάω^{vpppnmp}. **v.14** σύ$^{rpn\text{-}s}$ δέ^{c} μένω^{vdpa2s} ἐν^{p} ὅς^{rrdnp} μανθάνω^{viaa2s} καί^{c} πιστόω^{viap2s} οἶδα^{vpxanms} παρά^{p} τίς^{rqgms} μανθάνω^{viaa2s}. **v.15** καί^{c} ὅτι^{c} ἀπό^{p} βρέφος^{ngns} ὁ^{danp} ἱερός^{aanpn} γράμμα^{nanp} οἶδα^{vixa2s} ὁ^{danp} δύναμαι^{vppnanp} σύ$^{rpa\text{-}s}$ σοφίζω^{vnaa} εἰς^{p} σωτηρία^{nafs} διά^{p} πίστις^{ngfs} ὁ^{dgfs} ἐν^{p} Χριστός^{ndms} Ἰησοῦς^{ndms}. **v.16** πᾶς^{anfsn} γραφή^{nnfs} θεόπνευστος^{anfsn} καί^{c} ὠφέλιμος^{anmsn} πρός^{p} διδασκαλία^{nafs} πρός^{p} ἔλεγχος^{nams} πρός^{p} ἐπανόρθωσις^{nafs} πρός^{p} παιδεία^{nafs} ὁ^{dafs} ἐν^{p} δικαιοσύνη^{ndfs}. **v.17** ἵνα^{c} ἄρτιος^{anmsn} εἰμί^{vspx3s} ὁ^{dnms} ὁ^{dgms} θεός^{ngms} ἄνθρωπος^{nnms} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἐξαρτίζω^{vpxpnms}. **4. v.1** διαμαρτύρομαι^{vipn1s} οὖν^{c} ἐγώ$^{rpn\text{-}s}$ ἐνώπιον^{bo} ὁ^{dgms} θεός^{ngms} καί^{c} ὁ^{dgms} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} μέλλω^{vppagms} κρίνω^{vnpa} ζάω^{vppaamp} καί^{c} νεκρός^{aampn} κατά^{p} ὁ^{dafs} ἐπιφάνεια^{nafs} αὐτός^{rpgms} καί^{c} ὁ^{dafs} βασιλεία^{nafs} αὐτός^{rpgms}. **v.2** κηρύσσω^{vdaa2s} ὁ^{dams} λόγος^{nams} ἐφίστημι^{vdaa2s} εὐκαίρως^{bo} ἀκαίρως^{bo} ἐλέγχω^{vdaa2s} ἐπιτιμάω^{vdaa2s} παρακαλέω^{vdaa2s} ἐν^{p} πᾶς^{adfsn} μακροθυμία^{ndfs} καί^{c} διδαχή^{ndfs}.

ρεύσουσιν διδασκάλους κνηθόμενοι τὴν ἀκοήν. καὶ ἀπὸ 4
μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν ἐπὶ δὲ τοὺς μύ- 5
θους ἐκτραπήσονται. σὺ δὲ νῆφε ἐν πᾶσιν κακοπάθησον
ἔργον ποίησον εὐαγγελιστοῦ τὴν διακονίαν σου πληροφό- 6
ρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀ-
ναλύσεώς ἐφέστηκεν. τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι τὸν 7
δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα, λοιπὸν ἀπόκειταί 8
μοι ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδώσει μοι ὁ κύριος
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής οὐ μόνον δὲ ἐμοὶ ἀλλὰ
καὶ πάσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ. Σπού- 9
δασον ἐλθεῖν πρός με ταχέως, Δημᾶς γάρ με ἐγκατέλιπεν 10
ἀγαπήσας τὸν νῦν αἰῶνα καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην
Κρήσκης εἰς Γαλατίαν Τίτος εἰς Δαλματίαν, Λουκᾶς ἐστιν 11
μόνος μετ ἐμοῦ Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ ἔστιν
γάρ μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα 12
εἰς Ἔφεσον. τὸν φελόνην ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ 13
Κάρπῳ ἐρχόμενος φέρε καὶ τὰ βιβλία μάλιστα τὰς μεμβράνας. Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, 14
ἀποδῴη αὐτῷ ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ, ὃν καὶ σὺ φυ- 15

---

v.3 εἰμίvifx3s γάρc καιρόςnnms ὅτεbo ὁdgfs ὑγιαίνωvppagfs διδασκαλίαngfs οὐxo ἀνέχωvifd3p ἀλλάc κατάp ὁdafp ἐπιθυμίαnafp ὁdafp ἴδιοςaafpn ἑαυτοῦrxdmp ἐπισωρεύωvifa3p διδάσκαλοςnamp κνήθωvpppnmp ὁdafs ἀκοήnafs. **v.4** καίc ἀπόp μένxo ὁdgfs ἀληθειαngfs ὁdafs ἀκοήnafs ἀποστρέφωvifa3p ἐπίp δέc ὁdamp μῦθοςnamp ἐκτρέπωvifp3p. **v.5** σύrpn-s δέc νήφωvdpa2s ἐνp πᾶςadnpn κακοπαθέωvdaa2s ἔργονnans ποιέωvdaa2s εὐαγγελιστῆςngms ὁdafs διακονίαnafs σύrpg-s πληροφορέωvdaa2s. **v.6** ἐγώrpn-s γάρc ἤδηbo σπένδωvipp1s καίc ὁdnms καιρόςnnms ὁdgfs ἐμόςrsgfs ἀνάλυσιςngfs ἐφίστημιvixa3s. **v.7** ὁdams ἀγώνnams ὁdams καλόςaamsn ἀγωνίζομαιvixn1s ὁdams δρόμοςnams τελέωvixa1s ὁdafs πίστιςnafs τηρέωvixa1s. **v.8** λοιπόςaansn ἀπόκειμαιvipn3s ἐγώrpd-s ὁdnms ὁdgfs δικαιοσύνηngfs στέφανοςnnms ὅςrrams ἀποδίδωμιvifa3s ἐγώrpd-s ὁdnms κύριοςnnms ἐνp ἐκεῖνοςrddfs ὁddfs ἡμέραndfs ὁdnms δίκαιοςanmsn κριτήςnnms οὐxo μόνοςbo δέc ἐγώrpd-s ἀλλάc καίc πᾶςadmpn ὁddmp ἀγαπάωvpxadmp ὁdafs ἐπιφάνειαnafs αὐτόςrpgms. **v.9** σπουδάζωvdaa2s ἔρχομαιvnaa πρόςp ἐγώrpa-s ταχέωςbo. **v.10** Δημᾶςnnms γάρc ἐγώrpa-s ἐγκαταλείπωviaa3s ἀγαπάωvpaanms ὁdams νῦνbo αἰώνnams καίc πορεύομαιviao3s εἰςp Θεσσαλονίκηnafs Κρήσκηςnnms εἰςp Γαλατίαnafs Τίτοςnnms εἰςp Δαλματίαnafs. **v.11** Λουκᾶςnnms εἰμίvipx3s μόνοςanmsn μετάp ἐγώrpg-s Μᾶρκοςnams ἀναλαμβάνωvpaanms ἄγωvdpa2s μετάp σεαυτοῦrxgms εἰμίvipx3s γάρc ἐγώrpd-s εὔχρηστοςanmsn εἰςp διακονίαnafs. **v.12** Τυχικόςnamsδέc ἀποστέλλωviaa1s εἰςp Ἔφεσοςnafs. **v.13** ὁdams φαιλόνηςnafs ὅςrrams ἀπολείπωviaa1s ἐνp Τρῳάςndfs παράp Καρπόςndmsἔρχομαιvppnnms φέρωvdpa2s καίc ὁdanp βιβλίονnanp μάλισταbo ὁdafp μεμβράναnafp. **v.14** Ἀλέξανδροςnnms ὁdnms χαλκεύςnnms πολύςaanpn ἐγώrpd-s κακόςaanpn ἐνδείκνυμιviam3s ἀποδίδωμιvoaa3s αὐτόςrpdms ὁdnms κύριοςnnms κατάp ὁdanp ἔργονnanp αὐτόςrpgms.

16 λάσσου λίαν γὰρ ἀνθέστηκεν τοῖς ἡμετέροις λόγοις. Ἐν
τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ
17 πάντες με ἐγκατέλιπον, μὴ αὐτοῖς λογισθείη, ὁ δὲ κύριός
μοι παρέστη καὶ ἐνεδυνάμωσέν με ἵνα δι' ἐμοῦ τὸ κήρυγμα
πληροφορηθῇ καὶ ἀκούσῃ πάντα τὰ ἔθνη καὶ ἐρρύσθην ἐκ
18 στόματος λέοντος. καὶ ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς
ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐ-
πουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.
19 Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον.
20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ Τρόφιμον δὲ ἀπέλιπον ἐν Μι-
21 λήτῳ ἀσθενοῦντα. Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν Ἀσπά-
ζεταί σε Εὔβουλος καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ
22 οἱ ἀδελφοὶ πάντες. Ὁ κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ
πνεύματός σου ἡ χάρις μεθ ὑμῶν ἀμήν.

---

v.15 ὅς^{rrams} καί^{c} σύ$^{rpn\text{-}s}$ φυλάσσω^{vdpm2s} λίαν^{bo} γάρ^{c} ἀνθίστημι^{vixa3s} ὁ^{ddmp} ἡμέτερος^{rsdmp} λόγος^{ndmp}. **v.16** ἐν^{p} ὁ^{ddfs} πρῶτος^{adfsn} ἐγώ$^{rpg\text{-}s}$ ἀπολογία^{ndfs} οὐδείς^{anfsn} ἐγώ$^{rpd\text{-}s}$ συμπαραγίνομαι^{viad3s} ἀλλά^{c} πᾶς^{anmpn} ἐγώ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{viaa3p} μή^{xo} αὐτός^{rpdmp} λογίζομαι^{voao3s}. **v.17** ὁ^{dnms} δέ^{c} κύριος^{nnms} ἐγώ$^{rpd\text{-}s}$ παρίστημι^{viaa3s} καί^{c} ἐνδυναμόω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ ἵνα^{c} διά^{p} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnns} κήρυγμα^{nnns} πληροφορέω^{vsap3s} καί^{c} ἀκούω^{vsaa3s} πᾶς^{annpn} ὁ^{dnnp} ἔθνος^{nnnp} καί^{c} ῥύομαι^{viap1s} ἐκ^{p} στόμα^{ngns} λέων^{ngms}. **v.18** καί^{c} ῥύομαι^{vifd3s} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} κύριος^{nnms} ἀπό^{p} πᾶς^{agnsn} ἔργον^{ngns} πονηρός^{agnsn} καί^{c} σῴζω^{vifa3s} εἰς^{p} ὁ^{dafs} βασιλεία^{nafs} αὐτός^{rpgms} ὁ^{dafs} ἐπουράνιος^{aafsn} ὅς^{rrdms} ὁ^{dnfs} δόξα^{nnfs} εἰς^{p} ὁ^{damp} αἰών^{namp} ὁ^{dgmp} αἰών^{ngmp} ἀμήνth. **v.19** ἀσπάζομαι^{vdad2s} Πρίσκα^{nafs} καί^{c} Ἀκύλας^{nams} καί^{c} ὁ^{dams} Ὀνησίφορος^{ngms} οἶκος^{nams}. **v.20** Ἔραστος^{nnms} μένω^{viaa3s} ἐν^{p} Κόρινθος^{ndfs} Τρόφιμος^{nams} δέ^{c} ἀπολείπω^{viaa1s} ἐν^{p} Μίλητος^{ndfs} ἀσθενέω^{vppaams}. **v.21** σπουδάζω^{vdaa2s} πρό^{p} χειμών^{ngms} ἔρχομαι^{vnaa} ἀσπάζομαι^{vipn3s} σύ$^{rpa\text{-}s}$ Εὔβουλος^{nnms} καί^{c} Πούδης^{nnms} καί^{c} Λίνος^{nnms} καί^{c} Κλαυδία^{nnfs} καί^{c} ὁ^{dnmp} ἀδελφός^{nnmp} πᾶς^{anmpn}. **v.22** ὁ^{dnms} κύριος^{nnms} Ἰησοῦς^{nnms} Χριστός^{nnms} μετά^{p} ὁ^{dgns} πνεῦμα^{ngns} σύ$^{rpg\text{-}s}$ ὁ^{dnfs} χάρις^{nnfs} μετά^{p} σύ$^{rpg\text{-}p}$ ἀμήνth.

Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

Παῦλος δοῦλος θεοῦ ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κα- **1**
τὰ πίστιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ
εὐσέβειαν. ἐπ ἐλπίδι ζωῆς αἰωνίου ἣν ἐπηγγείλατο ὁ ἀ- 2
ψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων. ἐφανέρωσεν δὲ καιροῖς 3
ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ
ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ. Τίτῳ γνησίῳ τέκνῳ κα- 4
τὰ κοινὴν πίστιν χάρις ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ
Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Τούτου χάριν 5
κατέλιπόν σε ἐν Κρήτῃ ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ καὶ
καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους ὡς ἐγώ σοι διεταξά-
μην. εἴ τίς ἐστιν ἀνέγκλητος μιᾶς γυναικὸς ἀνήρ τέκνα 6
ἔχων πιστά μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα. δεῖ 7
γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς θεοῦ οἰκονόμον
μὴ αὐθάδη μὴ ὀργίλον μὴ πάροινον μὴ πλήκτην μὴ αἰ-
σχροκερδῆ. ἀλλὰ φιλόξενον φιλάγαθον σώφρονα δίκαιον 8
ὅσιον ἐγκρατῆ. ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πι- 9
στοῦ λόγου ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκα-

---

1. v.1 Παῦλος^{nnms} δοῦλος^{nnms} θεός^{ngms} ἀπόστολος^{nnms} δέ^{c} Ἰησοῦς^{ngms} Χριστός^{ngms} κατά^{p} πίστις^{nafs} ἐκλεκτός^{agmpn} θεός^{ngms} καί^{c} ἐπίγνωσις^{nafs} ἀλήθεια^{ngfs} ὁ^{dgfs} κατά^{p} εὐσέβεια^{nafs}. **v.2** ἐπί^{p} ἐλπίς^{ndfs} ζωή^{ngfs} αἰώνιος^{agfsn} ὅς^{rrafs} ἐπαγγέλλομαι^{viad3s} ὁ^{dnms} ἀψευδής^{anmsn} θεός^{nnms} πρό^{p} χρόνος^{ngmp} αἰώνιος^{agmpn}. **v.3** φανερόω^{viaa3s} δέ^{c} καιρός^{ndmp} ἴδιος^{admpn} ὁ^{dams} λόγος^{nams} αὐτός^{rpgms} ἐν^{p} κήρυγμα^{ndns} ὅς^{rrans} πιστεύω^{viap1s} ἐγώ$^{rpn-s}$ κατά^{p} ἐπιταγή^{nafs} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$ θεός^{ngms}. **v.4** Τίτος^{ndms} γνήσιος^{adnsn} τέκνον^{ndns} κατά^{p} κοινός^{aafsn} πίστις^{nafs} χάρις^{nnfs} ἔλεος^{nnms} εἰρήνη^{nnfs} ἀπό^{p} θεός^{ngms} πατήρ^{ngms} καί^{c} κύριος^{ngms} Ἰησοῦς^{ngms} Χριστός^{ngms} ὁ^{dgms} σωτήρ^{ngms} ἐγώ$^{rpg-p}$. **v.5** οὗτος^{rdgns} χάριν^{bo} καταλείπω^{viaa1s} σύ$^{rpa-s}$ ἐν^{p} Κρήτη^{ndfs} ἵνα^{c} ὁ^{danp} λείπω^{vppaanp} ἐπιδιορθόω^{vsam2s} καί^{c} καθίστημι^{vsaa2s} κατά^{p} πόλις^{nafs} πρεσβύτερος^{aampn} ὡς^{bo} ἐγώ$^{rpn-s}$ σύ$^{rpd-s}$ διατάσσω^{viam1s}. **v.6** εἰ^{qo} τίς^{rinms} εἰμί^{vipx3s} ἀνέγκλητος^{anmsn} εἷς^{ngfs} γυνή^{ngfs} ἀνήρ^{nnms} τέκνον^{nanp} ἔχω^{vppanms} πιστός^{aanpn} μή^{xo} ἐν^{p} κατηγορία^{ndfs} ἀσωτία^{ngfs} ἤ^{xo} ἀνυπότακτος^{aanpn}. **v.7** δεῖ^{vipq3s} γάρ^{c} ὁ^{dams} ἐπίσκοπος^{nams} ἀνέγκλητος^{aamsn} εἰμί^{vnpx} ὡς^{bo} θεός^{ngms} οἰκονόμος^{nams} μή^{xo} αὐθάδης^{aamsn} μή^{xo} ὀργίλος^{aamsn} μή^{xo} πάροινος^{aamsn} μή^{xo} πλήκτης^{nams} μή^{xo} αἰσχροκερδής^{aamsn}. **v.8** ἀλλά^{c} φιλόξενος^{aamsn} φιλάγαθος^{aamsn} σώφρων^{aamsn} δίκαιος^{aamsn} ὅσιος^{aamsn} ἐγκρατής^{aamsn}.

10 λίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰσὶν
γὰρ πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι καὶ φρεναπάται
11 μάλιστα οἱ ἐκ περιτομῆς. οὓς δεῖ ἐπιστομίζειν οἵτινες ὅ-
λους οἴκους ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ
12 κέρδους χάριν. εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφή-
13 της Κρῆτες ἀεὶ ψεῦσται κακὰ θηρία γαστέρες ἀργαί. ἡ
μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς
14 ἀποτόμως ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει. μὴ προσέχοντες Ἰ-
ουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων
15 τὴν ἀλήθειαν. πάντα μὲν καθαρὰ τοῖς καθαροῖς, τοῖς δὲ
μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν· ἀλλὰ μεμίανται
16 αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. θεὸν ὁμολογοῦσιν εἰ-
δέναι τοῖς δὲ ἔργοις ἀρνοῦνται βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς
καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

2, 2 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. πρε-
σβύτας νηφαλέους εἶναι σεμνούς σώφρονας ὑγιαίνοντας τῇ
3 πίστει τῇ ἀγάπῃ τῇ ὑπομονῇ, πρεσβύτιδας ὡσαύτως ἐν κα-
ταστήματι ἱεροπρεπεῖς μὴ διαβόλους μὴ οἴνῳ πολλῷ δεδου-
4 λωμένας καλοδιδασκάλους. ἵνα σωφρονίζωσιν τὰς νέας
5 φιλάνδρους εἶναι φιλοτέκνους. σώφρονας ἁγνάς οἰκου-

---

v.9 ἀντέχω^{vppnams} ὁ^{dgms} κατά^{p} ὁ^{dafs} διδαχή^{nafs} πιστός^{agmsn} λόγος^{ngms} ἵνα^{c} δυνατός^{anmsn} εἰμί^{vspx3s} καί^{c} παρακαλέω^{vnpa} ἐν^{p} ὁ^{ddfs} διδασκαλία^{ndfs} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} καί^{c} ὁ^{damp} ἀντιλέγω^{vppaamp} ἐλέγχω^{vnpa}. **v.10** εἰμί^{vipx3p} γάρ^{c} πολύς^{anmpn} καί^{c} ἀνυπότακτος^{anmpn} ματαιολόγος^{anmpn} καί^{c} φρεναπάτης^{nnmp} μάλιστα^{bo} ὁ^{dnmp} ἐκ^{p} περιτομή^{ngfs}. **v.11** ὅς^{rramp} δεῖ^{vipq3s} ἐπιστομίζω^{vnpa} ὅστις^{rrnmp} ὅλος^{aampn} οἶκος^{namp} ἀνατρέπω^{vipa3p} διδάσκω^{vppanmp} ὅς^{rranp} μή^{xo} δεῖ^{vipq3s} αἰσχρός^{agnsn} κέρδος^{ngns} χάριν^{bo}. **v.12** λέγω^{viaa3s} τι-σρινμσ ἐκ^{p} αὐτός^{rpgmp} ἴδιος^{anmsn} αὐτός^{rpgmp} προφήτης^{nnms} Κρής^{nnmp} ἀεί^{bo} ψεύστης^{nnmp} κακός^{annpn} θηρίον^{nnnp} γαστήρ^{nnfp} ἀργός^{anfpn}. **v.13** ὁ^{dnfs} μαρτυρία^{nnfs} οὗτος^{rdnfs} εἰμί^{vipx3s} ἀληθής^{anfsn} διά^{p} ὅς^{rrafs} αἰτία^{nafs} ἐλέγχω^{vdpa2s} αὐτός^{rpamp} ἀποτόμως^{bo} ἵνα^{c} ὑγιαίνω^{vspa3p} ἐν^{p} ὁ^{ddfs} πίστις^{ndfs}. **v.14** μή^{xo} προσέχω^{vppanmp} Ἰουδαϊκός^{admpn} μῦθος^{ndmp} καί^{c} ἐντολή^{ndfp} ἄνθρωπος^{ngmp} ἀποστρέφω^{vppmgmp} ὁ^{dafs} ἀλήθεια^{nafs}. **v.15** πᾶς^{annpn} μέν^{xo} καθαρός^{annpn} ὁ^{ddmp} καθαρός^{admpn} ὁ^{ddmp} δέ^{c} μιαίνω^{vpxpdmp} καί^{c} ἄπιστος^{admpn} οὐδείς^{annsn} καθαρός^{annsn} ἀλλά^{c} μιαίνω^{vixp3s} αὐτός^{rpgmp} καί^{c} ὁ^{dnms} νοῦς^{nnms} καί^{c} ὁ^{dnfs} συνείδησις^{nnfs}. **v.16** θεός^{nams} ὁμολογέω^{vipa3p} οἶδα^{vnxa} ὁ^{ddnp} δέ^{c} ἔργον^{ndnp} ἀρνέομαι^{vipn3p} βδελυκτός^{anmpn} εἰμί^{vppxnmp} καί^{c} ἀπειθής^{anmpn} καί^{c} πρός^{p} πᾶς^{aansn} ἔργον^{nans} ἀγαθός^{aansn} ἀδόκιμος^{anmpn}. **2. v.1** σύ$^{rpn-s}$ δέ^{c} λαλέω^{vdpa2s} ὅς^{rranp} πρέπω^{vipq3s} ὁ^{ddfs} ὑγιαίνω^{vppadfs} διδασκαλία^{ndfs}. **v.2** πρεσβύτης^{namp} νηφάλιος^{aampn} εἰμί^{vnpx} σεμνός^{aampn} σώφρων^{aampn} ὑγιαίνω^{vppaamp} ὁ^{ddfs} πίστις^{ndfs} ὁ^{ddfs} ἀγάπη^{ndfs} ὁ^{ddfs} ὑπομονή^{ndfs}. **v.3** πρεσβῦτις^{nafp} ὡσαύτως^{bo} ἐν^{p} κατάστημα^{ndns} ἱεροπρεπής^{aafpn} μή^{xo} διάβολος^{aafpn} μή^{xo} οἶνος^{ndms} πολύς^{admsn} δουλόω^{vpxpafp} καλοδιδάσκαλος^{aafpn}. **v.4** ἵνα^{c} σωφρονίζω^{vspa3p} ὁ^{dafp} νέος^{aafpn} φίλανδρος^{nafp} εἰμί^{vnpx} φιλότεκνος^{aafpn}.

ρούς ἀγαθάς ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν ἵνα μὴ
ὁ λόγος τοῦ θεοῦ βλασφημῆται. τοὺς νεωτέρους ὡσαύτως 6
παρακάλει σωφρονεῖν. περὶ πάντα σεαυτὸν παρεχόμενος 7
τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ ἀδιάφθορίαν, σεμνό-
τητα ἀφθαρσιαν, λόγον ὑγιῆ ἀκατάγνωστον ἵνα ὁ ἐξ ἐναν- 8
τίας ἐντραπῇ μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. δού- 9
λους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν εὐαρέστους
εἶναι μὴ ἀντιλέγοντας. μὴ νοσφιζομένους ἀλλὰ πίστιν πᾶ- 10
σαν ἐνδεικνυμένους ἀγαθήν ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆ-
ρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν. Ἐπεφάνη γὰρ ἡ χάρις 11
τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. παιδεύουσα ἡμᾶς 12
ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας
σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰ-
ῶνι. προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν 13
τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χρι-
στοῦ. ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν ἵνα λυτρώσηται ἡμᾶς 14
ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον
ζηλωτὴν καλῶν ἔργων. Ταῦτα λάλει καὶ παρακάλει καὶ 15
ἔλεγχε μετὰ πάσης ἐπιταγῆς, μηδείς σου περιφρονείτω.

3 Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσε-

---

